4–5 Πᾶσα…ὀξύνεται] praeceptum Herodianeum subest in sch. A 255–8 … τὸ δὲ γηθῆσαι (255) παροξυτονητέον, ἐπειδὴ εὐκτικόν ἐστιν, ἡ δὲ αι ἐν τοῖς εὐκτικοῖς μακρά ἐστιν et sch. H 129–30 ἀκούσαι … ἀείραι: παροξυτονητέον ἀμφότερα· ἔφαμεν γὰρ (sc. ad A 255–8) τὴν αι δίφθογγον ἐν εὐκτικοῖς μακρὰν εἶναι; Ap. Dysc. adv. 127.21 Ἡ οι δίφθογγος μακρά ἐστιν ἐν ἀπτώτοις, ὡς ἐπεδείχθη ἐν τῷ περὶ χρόνων, καὶ διὰ τοῦτο ἐπίρρημα μὲν τὸ ωμοι ὃν παροξύνεται, ὄνομα δὲ προπερισπᾶται; Choer. I 384.14 alibi **6–8,3** Πᾶσα…Σκάμανδρος] cf. Hrd. ap. sch. K 292b[1] ὀξεῖα γὰρ μετὰ μακρᾶς, βραχείας ἐπιφερομένης, οὐ πίπτει κατὰ τὸ κοινὸν ἔθος, ὑπεσταλμένων τῶν σεσημειωμένων, λέγω δὲ τοῦ εἴθε, αἴθε, ναίχι, περὶ ὧν καὶ λόγον δεδώκαμεν (scil. in Catholica); id. Π. μον. λέξ. 933.17 (εἴθε); vid. etiam § **158** τὸ δὲ *εἴθε* καὶ *αἴθε* βαρύνεται μέν, οὐ προπερισπᾶται δέ, ὡς τὸ *τῆλε* καὶ *ὧδε*, ἀλλὰ παροξύνεται, ὅτι περιττή ἐστιν ἡ -*θε* συλλαβή; Ap. Dysc. pron. 87.5 καὶ εὐλόγως προπερισπασθήσεται τὸ νῶι διὰ τὴν τῆς βραχείας ἐπιφοράν; Ap. Dysc. pron. 92.13 (εἴθε, αἴθε, ναίχι); Choer. I 385.19 πᾶσα γὰρ φύσει μακρὰ πρὸ μιᾶς συλλαβῆς βραχείας, ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον, ἐν ἑνὶ μέρει λόγου, κοινολεκτουμένη, μὴ ἐπεκτεινομένη διὰ τοῦ χ καὶ [τοῦ] ι ἢ διὰ τοῦ θ καὶ ε ἢ διὰ τοῦ δ καὶ ε ἐν τοῖς δυϊκοῖς, περισπωμένην δέχεται, οἷον παῖδες Πᾶνες Ἀλκμᾶνες Τιτᾶνες δελφῖνες ἀκτῖνες φῶτες Τρῶες μῆνες χῆνες μῆλον δῶρον κῆπος δῆμος βῆμα Μοῦσα αἷμα ἦθος εἶδος τεῖχος ἧπαρ γυναῖκες; ibid. 386.15 (ναίχι, εἴθε) alibi; de οὐχί cf. Ap. Dysc. adv. 162.28; Hrd. παθ. 202.8 = sch. Mel./Diom. D. Thr. 60.24 Ἰστέον δὲ ὅτι τὸ οὐχί ἐπέκτασις μέν ἐστι τῆς οὔ, ὡς καὶ τὰ ἄλλα ἐπιρρήματα τὰ ἀρνητικά, ὀξύνεται δέ, καὶ οὐδέποτε ἀποβολὴν τοῦ ι πάσχει, ὥς φησιν Ἡρωδιανός; Theogn. 159.21 (can. 964); Ep. Hom. ο 81 (cum locis a Dyck allatis) et Ep. Hom. ο 86 alibi; de ἦχι cf. Ap. Dysc. adv. 209.19 Τὸ ἦχι τοπικὸν οὐ διὰ τὴν ἐπὶ τέλους παραγωγὴν τὴν εἰς τόπον σχέσιν σημαίνει· ἔστι γὰρ παρολκὴ ὁμοία τῷ ναίχι, οὔ καὶ οὐχί; Choer. II 148.9; Ep. Hom. η 13 (vid. et quos Dyck affert locos)

2 πάσας…κατὰ addidi; vid. Xenis[3] | ἐπέκτασις] hoc est, productio vocalis, cf. Ap. Dysc. adv. 144.23 et LSJ s.v. II; usitatius tamen est ut productio vocalis dicatur ἔκτασις quam ἐπέκτασις **4–6** μακρᾶς…πρὸ] lacunam statui coll. locis similibus supra laudatis; huiusmodi lacunas ratione in praef. V indicata expleo; Iohannes exempla nescio quae post ὀξύνεται addidisse putandus **8** -χι scripsi: ι AV | ἐπεκτεταμένων V: ἐπεκταμένων A

δὴ περιττῆς οὔσης τῆς συλλαβῆς. παροξύνεται γοῦν τὸ *ναίχι* καὶ *εἴθε* καὶ *αἴθε*. ἔνθεν σημειούμεθα τὸ *οὐχί* ὀξυνόμενον. τὸ δὲ *ἦχι* προπερισπᾶται· «ἦχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος» (E 774).

18. Ἡ *-αι* καὶ *-οι* ἐν τέλει λέξεων κείμεναι, μὴ ἐπιφερομένου συμφώνου, ἐπὶ μὲν τῶν ἄλλων πάντων ἀντὶ βραχείας παραλαμβάνονται, ἐπὶ δὲ τῶν εὐκτικῶν καὶ τῶν ἐπιρρημάτων ἀντὶ μακρᾶς· οἷον τοῦ μὲν πρώτου τὸ *Μήδειαι* καὶ *ἄνθρωποι* προπαροξύνεται. ἔτι δὲ καὶ τὸ *Μοῦσαι* καὶ *κοῦροι* προπερισπᾶται ὡς τῶν τελευταίων συλλαβῶν βραχειῶν οὐσῶν. εἰ δὲ σύμφωνον ἐπιφέρηται, μακραὶ γίνονται· ὅθεν τοῖς *Ὁμήροις* καὶ ταῖς *Μηδείαις* ὁ τόνος καταβιβάζεται καὶ πρὸ μιᾶς τοῦ τέλους ὀξὺς δίδοται· ὁμοίως καὶ ἐπὶ ταῖς *Μούσαις* καὶ *κούροις*. τὸ μέντοι *οἴκοι* τοπικὸν ἐπίρρημα καὶ *οἴμοι* σχετλιαστικὸν παροξύνεται· καίτοι ὅτε ἐστὶν ὄνομα τὸ *οἶκοι* προπερισπᾶται. ἀλλὰ καὶ τὸ *ποιῆσαι* καὶ *κεῖραι*, εἰ μὲν ἀπαρέμφατον εἴη, προπερισπᾶται, εἰ δὲ εὐκτικόν, παροξύνεται· ὅτε δέ ἐστι τὸ *ποίησαι* προστακτικὸν μέσου ἀορίστου α^ου^, προπαροξύνεται.

5–17 Ἡ…προπαροξύνεται] de diphthongis finalibus -αι/-οι in universum Choer. I 364.26; de -αι in universum Choer. II 253.1; de -αι/-οι in optativis/adverbiis: Hrd. ap. sch. **A** 255–8 (de -αι in opt.); id. ap. sch. H 129–30 (de -αι in opt.); Ap. Dysc. adv. 127.21 (de -οι in adverbiis nominibusque); de οἴμοι adverbio vid. § **169**; infinitiva in -αι properispomena: Hrd. ap. sch. λ 74; id. ap. sch. **Φ** 336b[1]; id. ap. sch. **Φ** 336b[2]; Ap. Dysc. pron. 79.13; imperativa in -αι medii aoristi primi proparoxytona: Hrd. ap. sch. A 302a[1]; id. ap. sch. **O** 285b[1]; Ap. Dysc. pron. 79.13; id. synt. 108.1

2 ἦχι Dindorf quasi ex A: ἦχι AV; de iota ineffabili in ῆ cf. § **134** **3** ἦχι Dindorf quasi ex A: ἦχι AV | Σιμόεις AV^p.c.^: Σειμόεις V^a.c.^ | Σκάμανδρος C fortuito (sine accentu): Κάμανδρος AV **5** Ἡ A: om. V spat. vac. relicto **7** δὲ V: μὲν A: μέντοι Dindorf praef. iv **8** Μήδειαι A: Μήδεια V | προπαροξύνεται scripsi: προπαροξύνονται AV **9** προπερισπᾶται A: προπερισπῶνται V **10** ἐπιφέρηται V (de εἰ cum coniunctivo usu recentiore conferas e plurimis locis similibus §§ **22**, **65**, **100**, **121**, **123**; vid. etiam ad sch. Soph. El. 86a.9): ἐπιφ^έ^ compendiose **A** **12** ὀξὺς Dindorf: ὀξ^ύ^ A, quod ὀξύτονος interpretatus est Egenolff[2] 239: ὀξεῖαν V: ὀξεῖα Egenolff[2] 239 **13** Μούσαις V: Μοῦσαις A **14** παροξύνεται V: παροξ^ύ^ A οἶκοι A: οἴκοι V **16** παροξύνεται V: παροξ^ύ^ A **17** προστακτικὸν…αου] προστακτικὸν μέσου α^ρου^ α'^ου^ V: π^ρ^ μ^ε^ α^ρ^ α΄ compendiose A

19. Πᾶσα ὀξεῖα ἐπὶ τέλει λέξεως οὖσα, εἰ μὴ ἐπιφέροιτο μετ' αὐτὴν στιγμὴ ⟨ἢ λέξις ἐγκλιτική⟩, πάντως ἐν τῇ συμφράσει κοιμίζεται εἰς βαρεῖαν, οἷον «Ζεὺς δ' ἐπὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα» (N 1)· τό τε *Ζεὺς* καὶ *ἐπὶ* βαρύνεται, ὅτι στιγμὴ μετὰ ταῦτα οὐ τίθεται.

5 **20.** Ἰστέον δὲ ὅτι καθ' ἑκάστην λέξιν ἐν μιᾷ συλλαβῇ τίθεμεν ἢ ὀξεῖαν ἢ περισπωμένην, ἐν δὲ ταῖς λοιπαῖς συλλαβαῖς βαρεῖαν ⟨δεῖ⟩ τιθέναι – οἷον ἐν τῷ *Μὲνέλὰὸς* ἡ δευτέρα συλλαβὴ ὀξύνεται, αἱ δὲ λοιπαὶ βαρύνονται· καὶ ἐν τῷ *ἄλλοῖὸς* ἡ μὲν μέση περισπᾶται, ἡ δὲ πρώτη καὶ τρίτη βαρύνεται. διὸ καὶ βαρύτονα καλεῖται τὰ παροξύ-
10 τονα καὶ προπαροξύτονα καὶ προπερισπώμενα, διότι ἡ τελευταία τούτων βαρύνεται – ἀλλ' ὡς ὁμολογουμένας τὰς τοιαύτας βαρείας ἐῶμεν διὰ τὸ μὴ καταστίζειν τὰ βιβλία.

21. Ἡ ὀξεῖα οὖν καὶ ἡ βαρεῖα περισπωμένην ποιοῦσιν, οἷον *φάὸς φῶς*, *εὐγενέὸς εὐγενοῦς*, *Πειραιέὼς Πειραιῶς*.

1–4 Πᾶσα…τίθεται] cf. § **6**; De pros. 111.1 … ἀλλ' εἰς τὸν τόπον τῆς ὀξείας ἐν τῇ συνεπείᾳ τίθεται (scil. ἡ βαρεῖα)· οἷον ἄνθρωπος καλός. ἰδοὺ ἐνταῦθα εἰς τὸ λος ἐτέθη ἡ ὀξεῖα, ὅτι ἐπὶ τέλους εὑρέθη. ἐὰν δὲ εἴπῃς καλὸς ἄνθρωπος, ἰδοὺ ὧδε εἰς τὸ λος ἐτέθη ἡ βαρεῖα, ὅτι μετὰ ταῦτα ἐτέθη τὸ ἄνθρωπος; sch. Vat. D. Thr. (Choer.) 127.31; sch. Vat. D. Thr. (Porph.) 140.5; sch. Vat. D. Thr. (anon.) 153.30 **5–12** Ἰστέον…βιβλία] cf. De pros. 110.5 Ἡ γὰρ βαρεῖα συλλαβικὸς τόνος ἐστί, τουτέστι εἰς τὴν συλλαβὴν τὴν μὴ ἔχουσαν τὸν κύριον τόνον † ἐπὶ τέλους ἐτίθετο. ἀλλ' ἵνα μὴ καταχαράσσωνται τὰ βιβλία, τοῦτο νῦν οὐ γίνεται; Choer. I 117.1; sch. Vat. D. Thr. (Porph.) 139.12; sch. Mel./Diom. D. Thr. 23.29; sch. Vat. D. Thr. (anon.) 153.30 **13–14** Ἡ…Πειραιῶς] cf. §§ **53** et **72**; Hrd. ap. sch. **Θ** 557b πρώονες: ὡς σώφρονες· τὸ γὰρ πρῶνες πληθυντικὸν διηρέθη καὶ εἰς ὀξεῖαν καὶ βαρεῖαν ἡ περισπωμένη μετηνέχθη; Hrd. ap. Et. Gen. α 185 … Πρὸς ὃν ἀντιλέγει ὁ τεχνικός (scil. Herodianus) ὅτι εἰ ἦν ἀπὸ τοῦ αἰζήϊος, οὐκ ὤφειλεν ὀξύνεσθαι, ἀλλὰ προπερισπᾶσθαι. Ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται· οἷον, Ἀχελώϊος, Ἀχελῷος· ὑπερώϊον, ὑπερῷον, vid. et locos a L.–L. allatos; Hrd. ap. Eust. Il. I 42.2 (alibi); Ap. Dysc. pron. 35.7; Choer. I 179.21 (unde sch. Vat. D. Thr. 128.11); Ep. ad A 270, l. 40–2; sch. Vat. D. Thr. (Porph.) 138.11; sch. Vat. D. Thr. (Mel.) 175.25

1 Πᾶσα A: *ᾶσα, lit. π a rubr. omissa V **2** ἢ…ἐγκλιτική] addidi coll. §§ **4**, **143** (κοιμιζομένης ἐν τούτῳ τῆς ὀξείας διὰ τὸ μὴ εἶναι τὸν δὲ ἐγκλιτικόν), **204** (ἀλλ' ἐπειδὴ ἐγκλιτικός ἐστιν usque ad capituli finem) **3** Ἕκτορα] Ἕκτωρα AV **4** βαρύνεται V: βαρ^ύ A **6** δεῖ addidi **7** τιθέναι V et A in marg. | ἡ V: om. A **8** ἄλλοῖὸς V (-λλ- coni. Dindorf praef. iv): ἄλοῖὸς A **9** βαρύνεται V: βαρ^ύ compendiose A **9–10** παροξύτονα…προπαροξύτονα A: προπαροξύτονα καὶ τὰ παροξύτονα V **10** διότι V: διὸ A | τελευταία V: τελευταῖα A **14** Πειραιέὼς Πειραιῶς V: om. A

22. Ἀνάπαλιν δὲ ἡ βαρεῖα καὶ ἡ ὀξεῖα εἰς ὀξεῖαν συναιροῦνται, εἰ μὴ τονικὸν κωλύσῃ παράγγελμα, οἷον *ζῳός ζῷς, θεός θεύς, Πρόϊτου Προίτου, κόϊλου κοίλου*· τὸ γὰρ *κόϊλος κοῖλος* διὰ τονικὸν παράγγελμα προπεριεσπάσθη. τὸ δὲ *ἀδελφιδέός ἀδελφιδοῦς* καὶ τὰ ὅμοια δι' ἕτερον λόγον περιεσπάσθη. τὰ γὰρ εἰς *-ους* 5

1 Ἀνάπαλιν…συναιροῦνται] cf. sch. vet. Ar. Av. 129c.α. οὕτως Ἀττικοί (i.e. πρῴ). ὀξύνεται δὲ καὶ τὸ ι ἔχει (scil. προσγεγραμμένον) ἀπὸ τοῦ «πρωΐ» γενόμενον, ἀπὸ βαρείας καὶ ὀξείας; Choer. I 184.13; 242.6 (alibi); de ζῴς cf. Arc. 146.3 et Hrd. ap. sch. E 887a[1] (vid. et locos quos Erbse affert); sch. E 887a[2]; sch. E 887b; Ep. Hom. τ 61 (l. 29) **3** κόϊλος κοῖλος] trisyllabum κοΐλος ap. Ioh. Alex. paroxytonum est, sed ap. alios auctores proparoxytonum: Hrd. Π. μον. λέξ. 927.4 Κοῖλος. οὐδὲν εἰς -λος λῆγον δισύλλαβον βαρύτονον τῇ οι διφθόγγῳ παραλήγεται, ὅτι μὴ μόνον τὸ κοῖλος. ἀνάλογον οὖν ἐστι τρισυλλαβοῦν καὶ λεγόμενον κόϊλος. μεμίμηται γὰρ τὸ αἴγιλος, μύτιλος, πύτιλος, νύκτιλος (?); Arc. 62.18 Τὰ διὰ τοῦ ΙΛΟΣ ἀρσενικὰ ὑπερδισύλλαβα ἔχοντα τὸ Ι βραχὺ παροξύνεται. εἰ δέ τι προπαροξύτονον εἴη, ἢ πάθει ἢ γένει· ναυτίλος Τρωΐλος Ζωΐλος Πενθίλος. τὸ δὲ αἴγιλος θηλυκὸν προπαροξύνεται. τὸ δὲ κόϊλος ἀπὸ τοῦ κοῖλος κατὰ πάθος, καὶ τὸ μύτιλος (ὁ ἔσχατος) προπαροξύνεται; de synaeresi κόϊλος κοῖλος: Choer. Ep. Ps. 44.2 …ἀπὸ γὰρ τοῦ κόϊλον γέγονε κατὰ συναίρεσιν κοῖλον; Ep. ad A 26B[1], 60–1 γράφουσι δὲ τὸ κοι δίφθογγον, ἐπειδὴ εὑρέθη κατὰ διάστασιν κόϊλος καὶ ἐν συναιρέσει κοῖλος, ὡς ζῷ Ζώϊλος; de contraria affectione, hoc est, diairesi κοῖλος κόϊλος: Ap. Dysc. pron. 87.4 ἀλλ' ἴσως ἐν τῇ κατὰ διάστασιν διαιρέσει ἐστίν, ὡς κόϊλον, πάϊς; id. synt. 10.5 καὶ συλλαβὴ εἰς δύο μερίζεται (λέγω τὴν κυρίως συλλαβήν), κοῖλον κόϊλον; Theogn. 61.15 (can. 330) …πλὴν τοῦ κοῖλος· τοῦτο γὰρ διὰ τῆς -οι- διφθόγγου γράφεται, ὅτι εὕρηται καὶ ἐν διαλύσει κόϊλον; Prisc. Inst. Liber I 53 = GLK II 39.21 in hoc quoque Aeolis sequimur; sic enim illi dividentes diphthongum κόϊλον pro κοῖλον dicunt **3–4** διὰ…προπεριεσπάσθη] vid. § **17** **5–11,3** τὰ[2]…ὀξυνθέντα] cf. Arc. 106.18 Τὰ εἰς ΟΥΣ πολυσύλλαβα ἁπλᾶ μὲν ὄντα περισπᾶται· ἀδελφιδοῦς, θυγατριδοῦς, διπλοῦς, τριπλοῦς, πλὴν τοῦ ὀδούς. τὰ δὲ σύνθετα βαρύνεται· Πειρίθους, Ἀλκίνους, εὔπλους, πολύνους, Οἰδίπους; Choer. I 242.21 τὰ γὰρ εἰς -ους ὀνόματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, καὶ ἢ βαρύνονται ἢ περισπῶνται· καὶ περισπῶνται μὲν ἡνίκα ὦσιν ἁπλᾶ, οἷον βοῦς νοῦς χροῦς χαλκοῦς οὓς διπλοῦς τριπλοῦς ἁπλοῦς Σιμοῦς πλακοῦς, χωρὶς τοῦ πούς καὶ ὀδούς, ταῦτα γὰρ ὀξύνονται· βαρύνονται δὲ ἡνίκα ὦσι σύνθετα, οἷον εὔνους εὔχρους εὔπλους Ἀλκίνους Οἰδίπους ὀξυόδους; eundem canonem de nominibus simplicibus compositisque quae in -ους desinunt legimus etiam ap. Choer. I 235.28 (can. xiii, ὁ βοῦς); de simplicibus in *-ους* etiam in § **23** et § **39**; de monosyllabis in *-ους*

1 βαρεῖα A: βαρεία V | ἡ[2] V: om. A **2** θεός θεύς V: om. A **4** τὸ δὲ V: τὸ A ἀδελφιδὲός Lentz 10.17: ἀδελφιδεὸς A: ἀδελφιδέος V **5** περιεσπάσθη A: περιεσπάσθησαν V

ἁπλᾶ πάντα περισπᾶται, οἷον *βοῦς*, *χοῦς*, *πλοῦς*. τὰ δὲ σύνθετα βαρύνεται, οἷον *Μελάμπους*, *Οἰδίπους*· ὅθεν σημειούμεθα τὸ *πούς* καὶ *ὀδούς* παραλόγως ὀξυνθέντα.

23. Αἱ δύο βαρεῖαι εἰς βαρεῖαν συναιροῦνται, ὡς τὸ *Δημοσθέ-* 5 *νεὸς Δημοσθένοὺς*. πάλιν τὸ *χρύσὲὸς* καὶ *ἀργύρὲὸς* μετὰ τὴν συναίρεσιν περιεσπάσθη διὰ τὸν εἰρημένον κανόνα, ὡς τὰ εἰς *-ους* ἁπλᾶ περισπᾶσθαι θέλει.

24. Ταῦτα μὲν οὖν ἱκανὰ τοῖς εἰδόσιν ἐπὶ ποίας συλλαβῆς δεῖ ⟨τὸν τόνον⟩ τιθέναι. πολλῆς δὲ οὔσης ⟨τῆς⟩ τούτου διδασκαλίας, ἣν ἡμῖν 10 Ἡρωδιανὸς ἐν τῇ *Καθόλου* παρέδωκε πραγματείᾳ, ὀλίγα ἐξ αὐτῶν, τὰ χρειωδέστερα, συντόμως ἐκλεξάμενοι παραθήσομεν, ὡς εὐχερεστέραν εἶναι τοῖς στίζειν ἐθέλουσι τὴν τούτου μάθησιν. Πολλοὶ μὲν οὖν καὶ ἐκ ψιλῆς συνηθείας τὸ ἐπὶ ποίας συλλαβῆς ὁ τόνος ἑκάστης ὑπάρχει λέξεως ἴσασι, διὰ δὲ τῶν εἰρημένων κανόνων δῆλον 15 ἔσται [ὡς], εἰ πρὸ τέλους εἴη τῆς λέξεως ἡ προσῳδία, ποῖον δεήσει τιθέναι τόνον. ἀλλ' ἐπειδήπερ, εἰ ἐπὶ τέλους εἴη, φύσει μακρᾶς οὔσης τῆς τελευταίας, τότε λοιπὸν τυγχάνει δυσχερὲς εἴτε περισπᾶν δεήσει ταύτην εἴτε ὀξύνειν, τοῦτο μεθοδεῦσαι τὸ μέρος ἐπί τε τῶν εὐθειῶν καὶ ἐπὶ τῶν ῥημάτων ἐκ τῶν Ἡρωδιανοῦ συντόμως πειράσομαι.

(quae plerumque simplicia sunt) vid. § **28**; ὀδούς cur a regula abhorreat docent Hrd. Π. μον. λέξ. 928.8 Ὀδούς. τὰ εἰς -δους λήγοντα ὀνόματα ἁπλᾶ περισπᾶται, ὑϊδοῦς, θυγατριδοῦς, τηθαλλαδοῦς· ἀλλὰ μόνον τὸ ὀδούς ὀξυνόμενον ὁμοίως ταῖς μετοχαῖς καὶ κλίσιν μετοχῶν ἀνεδέξατο· τοῦ ὀδόντος γὰρ ὡς διδόντος et Choer. I 131.9 πάλιν τὸ ὀδούς ὀδόντος ὄνομα μετοχικὸν λέγεται, ἐπειδὴ καὶ τόνον καὶ κλίσιν μετοχῆς ἔχει· ὥσπερ γὰρ διδούς διδόντος, οὕτω καὶ ὀδούς ὀδόντος
4–7 Αἱ…θέλει] cf. § 72; Choer. I 242.28 (unde sch. Vat. D. Thr. 128.20) alibi **6** εἰρημένον κανόνα] vid. § 22 **9–10** πολλῆς…πραγματείᾳ] vid. § **8** **9** τούτου] scil. τοῦ ἐπὶ ποίας ἑκάστη λέξις συλλαβῆς δέχεται τὸν τόνον **12** στίζειν] scil. 'accentibus signare' (significatio lexico LSJ addenda) **14** εἰρημένων κανόνων] scil. canones dicit quos capitulis §§ **11–18** attulit **18** τῶν εὐθειῶν] vid. §§ **25–40** **19** τῶν ῥημάτων] vid. § **90** sqq.

1 ἁπλᾶ C (coni. Dindorf): ἁπλὰ AV **2** βαρύνεται C: βαρ^υ A: βαρύνονται V **3** ὀδούς A: ὁδούς V **4** βαρεῖαι V (coni. Dindorf): βραχεῖαι A **5** τὸ A: τοῦ V **7** ἁπλᾶ C: ἁπλὰ AV **8** δεῖ scripsi: ἔδει AV **8–9** τὸν τόνον add. Bloch **9** πολλῆς Bloch: πολλὰ AV | οὔσης A: ὄντα V | τῆς addidi | διδασκαλίας A: διδασκαλία V **10** Ἡρωδιανὸς V: Ἡροδιανὸς A | ὀλίγα V (coni. Lentz 11.7): ὀλίγα δὲ A **15** ὡς delevi **16** εἰ scripsi: ἡ AV | ἐπὶ Lentz ad 11.5: πρὸ AV ἐπὶ…εἴη] scil. ἐπὶ τέλους τῆς λέξεως εἴη ἡ προσῳδία **18** ταύτην] scil. τὴν λέξιν | τῶν εὐθειῶν] subauditur τῶν εὐθειῶν τῶν ὀνομάτων

εἰπόντες οὖν ποῖαι τῶν ἐπὶ τέλει τὸν τόνον ἐχουσῶν λέξεων περισπῶνται δηλονότι τὰς λοιπὰς ὀξυνομένας καταλείψομεν. ἄρξομαι δὲ ἐκ τῶν ὀνομάτων.

25. Πᾶν ὄνομα μονοσύλλαβον οὐδέτερον μακροκατάληκτον εἴτε ἀπαθὲς εἴη εἴτε πεπονθὸς περισπᾶται. καὶ ἔστι τὰ μονοσύλλαβα τῶν 5
στοιχείων ὀνόματα· *εἶ, μῦ, νῦ* καὶ τὰ λοιπά. *πᾶν, δῶ, κρῖ, σταῖς, οὖς, φῶς, πῦρ, σκῶρ·* τοῦτο δέ φασι Δωριεῖς ὀξύνειν.

4–7 Πᾶν…ὀξύνειν] huius canonis est mentio etiam ap. Arc. 143.11 Πᾶν μονοσύλλαβον οὐδέτερον ἔχον φύσει μακράν, εἴτε ἀπαθὲς εἴη, εἴτε πεπονθός, περισπᾶται· πᾶν ἀπὸ τοῦ πᾶς, καὶ τὸ δῶ ἀπὸ τοῦ δῶμα, καὶ τὸ φᾶρ (τὸ ἱμάτιον) ἀπὸ τοῦ φᾶρος, καὶ κρῖ, σταῖς, στῆρ (τὸ στέαρ), οὖς, ὦς, φῶς, πῦρ et ap. Choer. Orth. 226.30 περισπᾶται δὲ τὸ κρῖ· πᾶν γὰρ οὐδέτερον μονοσύλλαβον μακροκατάληκτον περισπᾶται; de nominibus elementorum: Arc. 143.9 Τὰ μονοσύλλαβα τῶν στοιχείων περισπῶνται· εἶ μῦ νῦ ξῖ οὖ πῖ ῥῶ ταῦ φῖ χῖ ψῖ ὦ; § **144**; neutra in -ρ exeuntia: Arc. 144.8 Τὰ εἰς Ρ ἀρσενικὰ καὶ θηλυκὰ μονοσύλλαβα ὀξύνεται … τὸ μέντοι πῦρ στῆρ κῆρ (τὸ κέαρ) ὡς οὐδέτερα περισπᾶται; Theogn. 133.13 (can. 802) Τὰ εἰς -ρ μονοσύλλαβα … τὰ δ᾽ ἄλλα πάντα διὰ τοῦ -η- γράφονται· κήρ τὸ θηλυκόν, τὸ γὰρ οὐδέτερον περισπᾶται; quibus accedit σῦρ item ab Herodiano usurpatum, ut apparet ex Theogn. 133.29 (can. 804) Εἰς -υρ μονοσύλλαβα δύο ἐστίν· σῦρ, τὸ φορτίον, καὶ πῦρ, τὸ στοιχεῖον. ἀμφότερα δὲ κλίνεται διὰ τοῦ -ρος et Hrd. Π. μον. λέξ. 919.13 Πῦρ. οὐδὲν εἰς -υρ λῆγον οὐδέτερον μονοσύλλαβον, ἀλλὰ μόνον τὸ πῦρ ὅπερ Σιμωνίδης (fr. 82 Page) καὶ ἕνεκα μέτρου δισυλλάβως ἀπεφήνατο· «τοῦτο γὰρ μάλιστα φῆρες ἔστυγον πύϊρ». Τὸ δὲ Σῦρ οὐ σύνηθες παρὰ Ἕλλησιν, ἀλλ᾽ ἱστορίας ἐχόμενον, ἄλλως τε οὐδ᾽ ἄντικρυς οὐδέτερον. οὕτω γὰρ ἐκαλεῖτο πρότερον ἡ Φοινίκη; neutra in -ης: Arc. 145.7 Τὰ εἰς ΗΣ (scil. μονοσύλλαβα) … τὸ δὲ κρῆς ἀπὸ τοῦ κρέας οὐδέτερον ὂν περισπᾶται; Theogn. 134.29 (can. 809) Τὰ εἰς -ης μονοσύλλαβα … κρῆς τὸ οὐδέτερον περισπᾶται· ἀπὸ γὰρ τοῦ κρέας; neutra in -αις: Theogn. 133.31 (can. 805) Εἰς -αις λήγοντα μονοσύλλαβα διὰ τῆς -αι- διφθόγγου γραφόμενα σπάνια κατὰ τὴν κοινὴν διάλεκτον … ἔστι δὲ … καὶ τὸ σταῖς περισπώμενον μόνως οὐδέτερον, δηλοῖ δὲ τὴν ζύμην; Arc. 144.18 καὶ τὰ εἰς ΑΙΣ μονοσύλλαβα (scil. περισπᾶται)· … σταῖς..; neutra in -ους: Arc. 145.4 Τὰ εἰς ΟΥΣ μονοσύλλαβα περισπᾶται· … καὶ τὸ οὖς οὐδέτερον; neutra in -ως: Arc. 146.4 Τὰ εἰς ΩΣ οὐδέτερα (scil. μονοσύλλαβα) περισπᾶται τὸ φῶς, τὸ ὦς; de δῶ vid. etiam Ap. Dysc. coniun. 224.20; pron. 87.15; κρῖ attigit etiam Choer. Orth. 226.30, Ep. Hom. κ 163   **4** ὄνομα μονοσύλλαβον] Herodianus accentum nominum monosyllaborum in libro XIV Catholicae complexus erat

4 Πᾶν] tit. περὶ εὐθείας in marg. praebet V

26. Τῶν δὲ ἀρσενικῶν ἐν μὲν τοῖς ⟨εἰς⟩ -ξ λήγουσι τὸ *Θρᾷξ*

1–14,6 Τῶν… περισπῶσι] 'Arcadius omnia in -ξ uno canone complectitur' Lentz ad 395.31: Arc. 144.4 Τὰ εἰς Ξ μονοσύλλαβα ὀξύνεται· πλάξ … αἴξ (καὶ τοῦτο οἱ Ἀττικοὶ περισπῶσι, καὶ τὸ Θρᾷξ καὶ βῶξ) (sic interpunxi); Theognostus tamen accuratius ea dividit formam Catholicae fidelius servans: Theogn. 132.23 (can. 799) Ἐς -ωξ μονοσύλλαβα (-βα scripsi: -βον cod.) διὰ τοῦ -ω- μεγάλου γραφόμενα ὀλίγα ἐστὶν καὶ σχεδὸν ἐν καταλείψει (scripsi: καταλήψει cod.)· πτώξ, πρώξ, ὤλξ, βῶξ, ὃ καὶ μόνον ἐκ πάντων περισπᾶται (-σπάται cod.), παρὰ γὰρ τὸ βόαξ; ibid. 132.27 (can. 800) Τὰ εἰς -αιξ μονοσύλλαβα διὰ τῆς -αι- διφθόγγου γραφόμενα σπάνιά ἐστιν, ἃ καὶ ὀξύνονται· ἔστιν γὰρ τὸ αἴξ ἐπὶ τοῦ ζώου, Γραίξ, ῥαίξ, καὶ τὸ Θρᾷξ περισπώμενον, ὅπερ οὐδὲ ἐκφωνεῖ (-εῖ Lentz ad 397.8: -ῇ cod.) τὸ -ι-, ὃ καὶ Θρήϊξ δισυλλάβως λέγεται (cf. Hrd. ap. sch. I 605b); Hrd. Cath. Pros. ap. Ep. Hom. α 131, ll. 70–2 (locus corruptus); Eust. D.P. 322 … Ὅτι δὲ τὸ Θρᾷξ περισπᾶται καὶ ὅτι ὡς συναιρεθὲν ἔχει τὴν τοῦ τόνου περίκλασιν, προδηλότατόν ἐστι. Δηλοῖ δὲ τὴν τῆς λέξεως συναίρεσιν τό τε Θρήϊκες καὶ τὸ Θρηΐκιον στόμα καὶ ὅσα τοιαῦτα· ὥστε συναιρεῖσθαι τὸ Θρᾷξ ἀπὸ τοῦ Θράϊξ βαρυτόνου ὀνόματος; de Θρᾷξ circumflexo etiam Et. Gud. 50.3 Stef. unde EM α 527 (p. 157.28); de synaeresi in Θρᾷξ vid. etiam Eust. Od. II 275.43; ad βῶξ quod attinet, praeter Arcadium et Theognostum cf. etiam Ioh. Philop. Opif. 207.26 τοιοῦτον δέ τι καὶ τὸν βῶκα πάσχειν, διὸ καὶ τὴν ὀνομασίαν εἴληφε, βόαξ τις ὤν, τοῦ ο καὶ τοῦ α εἰς ω συνηρημένων, ἐξ ὧν καὶ περισπωμένην ἔχει τὴν προσῳδίαν; de contractione in βῶξ dixerunt: Hrd. Sympos. (vid. Reitzenstein Gesch. 372) ap. Et. Gen. β 305 … Ἡρωδιανὸς δέ φησι καὶ δισυλλάβως (scil. *βόαξ*) λέγεσθαι· Ἀριστοφάνης (fr. 491 K.–A.)· «ἀλλ' ἔχουσι γαστέρα / μεστὴν βοάκων». καὶ Φερεκράτης (fr. 117 K.–A.)· «(A.) τί ληρεῖς; ἀλλὰ φωνὴν οὐκ ἔχει⟨ν⟩ / ἰχθύν γε φασὶ τὸ παράπαν. (B.) νὴ τὼ θεώ, / κοὐκ ἔστιν ἰχθὺς ἄλλος οὐδεὶς ἢ βόαξ». Ἀριστοτέλης (fr. 301 Rose) δέ, ὅτι φωνὴ προΐεται καὶ διὰ τοῦτο ὠνομάσθη…; Athen. VII 286 F … Νουμήνιος δ' ἐν Ἁλιευτικῷ βόηκας αὐτοὺς (scil. τοὺς βῶκας) καλεῖ ἐν τούτοις (fr. 9 Birt = SH 569)· «ἢ λευκὴν συνόδοντα βόηκάς τε τριγκούς τε». Σπεύσιππος δὲ καὶ οἱ ἄλλοι Ἀττικοὶ βόακας. Ἀριστοφάνης Σκηνὰς καταλαμβανούσαις (fr. 491 K.–A.)· «ἀλλ' ἔχουσα γαστέρα / μεστὴν βοάκων ἀπεβάδιζον οἴκαδε». ὠνομάσθη δὲ παρὰ τὴν βοήν. διὸ καὶ Ἑρμοῦ ἱερὸν εἶναι λόγος τὸν ἰχθύν, ὡς τὸν κίθαρον Ἀπόλλωνος. Φερεκράτης δ' ἐν Μυρμηκανθρώποις εἰπών (fr. 117 K.–A.)· «ἀλλὰ φωνὴν οὐκ ἔχειν / ἰχθύν ⟨γέ⟩ φασι τὸ παράπαν», ἐπιφέρει· «νὴ τὼ θεώ, / οὐκ ἔστιν ἰχθὺς ἄλλος οὐδεὶς ἢ βόαξ»…; Phot. β 182 βόακας, οὐ βῶκας τοὺς ἰχθύας καλοῦσιν. οὕτω Φερεκράτης (fr. 117 K.–A.); Eust. Il. III 405, 28–30 Τὸ δὲ «βώσαντι» ἐκ τοῦ βοήσαντι κέκραται, ὡς καὶ ὁ βῶξ ἰχθὺς ἐκ τοῦ βόηξ. εὕρηται γὰρ καὶ διὰ τοῦ ἦτα καὶ οὐ μόνον διὰ τοῦ α βόαξ, ὡς καὶ προδεδήλωται, ubi προδεδήλωται pertinet ad ibid. I 138.23 Ἑρμῇ δὲ βόαξ διὰ τὴν βοήν; de accentu γλαῦξ attice sch. Ar. V. (vet.) 1086a … τὸ γλαῦκα … Ἀττικοὶ μὲν περισπῶσιν, οἱ δὲ Δωριεῖς ὀξύνουσιν; Eust. Il. I

1 εἰς add. Bloch

περισπᾶται, ἐπεὶ καὶ ἐντελέστερον αὐτοῦ τὸ *Θρά ϊξ* δισύλλαβον· «Θρήικες οἴδ' ἀπάνευθε νεήλυδες» (Κ 434). καὶ ἔτι τὸ *βῶξ*, ἐπεὶ καὶ τούτου ἐντελέστερόν φασι τὸ *βόαξ*· μόνον γὰρ τῶν ἰχθύων φασὶν φωνὴν ἀφιέναι.

27. Τὸ δὲ *γλαυξ* καὶ *αἰξ* παρ' ἡμῖν μὲν ὀξύνεται, παρὰ δὲ Ἀθηναίοις καὶ ταῦτά τινες περισπῶσι. 5

28. Ἐν δὲ τοῖς εἰς -ς λήγουσιν ἀρσενικοῖς καὶ θηλυκοῖς τὰ περισπώμενα τῶν μονοσυλλάβων ταῦτά ἐστι· *Γρᾶς*, *Χνᾶς*, *Θᾶς*,

139.12 Ὅτι δὲ ἡ γλαύξ οὐ μόνον ὀξύνεται κοινότερον, ἀλλὰ καὶ περισπᾶται Ἀττικῶς, δηλοῦται ἀλλαχοῦ; ἀλλαχοῦ spectat ad eiusd. Od. I 106.9 ... οἱ παλαιοί. παρ' οἷς καὶ ἡ γλαῦξ περισπᾶται. οἳ καὶ ὀξύνεσθαι μὲν λέγουσι τὸ γλαύξ, πλὴν Ἀττικῶς (Ἀττικῶς scripsi: Δωρικῶς codd.); de γλαῦξ perispomeno etiam Et. Gud. 50.4 Stef. unde EM α 527, p. 157.28; de vocis αἶξ tonosi attica non loquuntur nisi noster et Arcadius (vid. supra); de eius oxytonesi Theogn., Et. Gud. 50.3 Stef. unde EM α 527, p. 157.27 **1** ἐν…λήγουσι] inter monosyll. perispomena masculina in -ν desinentia erat ap. Herodianum et Θῶν; hac de re testes habemus idoneos Arc. 143.17 Πᾶν ὄνομα μονοσύλλαβον εἰς Ν λῆγον ἀρσενικὸν καὶ θηλυκὸν ὀξύνεται· Πάν (ὁ δαίμων) ... χωρὶς τοῦ Θῶν Θῶντος (κύριον) et Theogn. 132.4 (can. 794) ... ὡς δὲ καὶ τὸ Θῶν ἐκ πάντων τῶν μονοσυλλάβων περισπώμενον, καὶ διὰ τοῦ -ντ- κλινόμενον μιμησάμενον τὴν σμῶντος, κλῶντος, δρῶντος μετοχήν
8–15,1 Γρᾶς…Λᾶς] in -ας quae desinunt nomina monosyll. masculina femininaque circumflexo notantur, si parisyllabae declinationis sunt, cf. Arc. 144.12 Τὰ εἰς ΑΣ μονοσύλλαβα, εἰ μὲν ἀποβολῇ τοῦ Σ τὴν γενικὴν ποιοῦσι, περισπῶνται· ὁ Γρᾶς τοῦ Γρᾶ, ὁ Θᾶς τοῦ Θᾶ, ὁ Χνᾶς τοῦ Χνᾶ, Δᾶς, Βᾶς, Λᾶς, πᾶς (πᾶ ὁ πατήρ); similiter Choer. I 115.20 Ἰστέον δὲ ὅτι περὶ τῶν εἰς -ας μονοσυλλάβων οὐδὲν εἶπεν ὁ Θεοδόσιος, ὡς πρὸς εἰσαγομένους τὸν λόγον ποιούμενος καὶ συντομίας φροντίζων. Ἔστι δὲ εἰπεῖν περὶ αὐτῶν οὕτως· τὰ εἰς -ας μονοσύλλαβα εἰ μὲν περισπῶνται ἀποβολῇ τοῦ -ς ποιοῦσι τὴν γενικὴν καὶ ἰσοσυλλάβως κλίνονται, εἰ δὲ ὀξύνονται περιττοσυλλάβως κλίνονται. Τῶν μὲν περισπωμένων εἰσὶ παραδείγματα τοιαῦτα, οἷον ὁ Γρᾶς τοῦ Γρᾶ (ὄνομα δὲ τοῦτο κύριον), ὁ Λᾶς τοῦ Λᾶ (τοῦτο δὲ ποταμὸν καὶ πόλιν καὶ λίθον σημαίνει) ... Ἀναδράμωμεν δὲ ἐπὶ τὰ λοιπὰ παραδείγματα τῶν εἰς -ας περισπωμένων μονοσυλλάβων, οἷον ὁ Θᾶς τοῦ Θᾶ (ὄνομα δὲ τοῦτο κύριον), ὁ Χνᾶς τοῦ Χνᾶ (οὕτω δὲ ἐλέγετο ὁ Ἀγήνωρ, ὅθεν καὶ ἡ Φοινίκη Χνᾶ λέγεται), ὁ Δᾶς τοῦ Δᾶ (ὄνομα δὲ τοῦτο ποταμοῦ), ὁ Βᾶς τοῦ Βᾶ (ἱστορεῖται δὲ οὗτος βασιλεὺς Πόντου). Τὸ δὲ πᾶς, ὅτε μέν ἐστι προσηγορικὸν καὶ σημαίνει τὸν πατέρα, ἀποβολῇ τοῦ -ς

2 Θρήικες οἴδ' Lentz 397.15: θρηϊκίοι δὲ A: θρηΐκιοι δ' V | νεήλυδες V: νεήλιδες A **3** μόνον Bloch: μόνων AV | φασὶν V per compend.: om. A **5** γλαυξ sine accentu scripsi: γλαῦξ AV: γλαύξ Lentz 397.17 | αἰξ sine accentu scripsi: αἶξ AV: αἴξ Lentz 397.12 | ὀξύνεται V: ὀξ^{υ} A

Λᾶς, εἶς, φϑοῖς, Δρῆς, Τρῆς. καὶ πάντα τὰ εἰς -*υς* μονοσύλ-

ποιεῖ τὴν γενικήν, οἷον τοῦ πᾶ, ὅτε δὲ ἐπίθετόν ἐστι καὶ δηλοῖ τριγένειαν, οἷον πᾶς πᾶσα πᾶν, διὰ τοῦ ντ κλίνεται, οἷον πᾶς παντός· πρὸς γὰρ διάφορον σημαινόμενον εἰκότως καὶ ἡ κλίσις διάφορος γέγονεν. Ταῦτα μὲν περὶ τῶν περισπωμένων

1 εἶς] de nominibus monosyll. masc. et femin. in -εις desinentibus praeceptum legimus ap. Arc. 144.20 Τὰ εἰς ΕΙΣ μονογενῆ ὀξύνονται· μείς (ὁ μήν), κλείς, κτείς. τὸ μέντοι εἷς περισπᾶται ὡς τριγενές; εἷς cur circumflectatur docent etiam Hrd. Π. μον. λέξ. 924.27; Theogn. 134.3 (can. 806); Choer. I 203.27; Ep. Hom. ε 55 (cf. et quos Dyck affert locos) | φθοῖς] cf. Arc. 144.22 Ἔτι (scil. praeter εἷς) καὶ τὰ εἰς ΟΙΣ περισπᾶται· φθοῖς, οἶς; Theogn. 134.18 (can. 807) Εἰς -οις λήγοντα (scripsi: λῆγον cod.) ἐπ' εὐθείας πτώσεως καὶ ἑνικοῦ ἀριθμοῦ δύο μόνα ἐστιν· ⟨τὸ⟩ (addidi) φθοῖς καὶ τὸ οἶς, ἃ καὶ περισπᾶται, ὡς ἐκ δισυλλάβων συναιρεθέντα, τοῦ (ego: τὸ cod.) φθόϊς καὶ ὄϊς; de bisyllabo ὄϊς dixit Hrd. ap. sch. Γ 198a,b (vid. et testim. ibi allata, quibus adde EM 620.23), idque strictim attigerunt Theogn. 97.20 (can. 571), Choer. Ep. Ps. 104.14, Eust. Od. II 64.11; de synaeresi in φθόϊς, praeter Theogn., vid. etiam Choer. l.c., Eust. l.c.; de accusativo plurali φθοῖς, neque vero de nom. sing., sermo est in sch. Ar. Pl. 677a.α | Δρῆς Τρῆς] in -ης quae desinunt nomina monosyll. masculina perispomena sunt, si pares in declinando syllabas servant, cf. Arc. 145.11 Τὰ εἰς ΗΣ μονοσύλλαβα τυχόντα φυσικῆς καταλήξεως ἢ ὀξύνεται ἢ περισπᾶται. καὶ ὀξύνεται μὲν τὰ περιττοσυλλάβως κλινόμενα· Κρής, σής, Γνής, (ὁ Ῥόδιος). περισπᾶται δὲ τὰ ἰσοσύλλαβα· Δρῆς Τρῆς κύρια; Theogn. 134.27 (can. 808) Εἰς -ης μονοσύλλαβα, ὀξύτονα δὴ λέγω καὶ περισπώμενα, ἰσοσυλλάβως καὶ περιττοσυλλάβως κλινόμενα, σπάνιά ἐστιν· ...Κρής ὁ ἐπὶ τοῦ ἔθνους, τὸ γὰρ οὐδέτερον ἐκ συναιρέσεως ὂν περισπᾶται ... περισπᾶται δὲ τὸ Δρῆς καὶ Τρῆς, ὡς δὲ τινὲς βούλονται καὶ τὸ Ζῆς; Choer. I 152.22 Παραλιμπάνει δὲ (scil. Theodosius) τὰ εἰς -ης μονοσύλλαβα· ἔστι δὲ εἰπεῖν περὶ αὐτῶν οὕτως· τὰ εἰς -ης μονοσύλλαβα ἐὰν περισπῶνται, ἀποβολῇ τοῦ -ς ποιοῦσι τὴν γενικήν, οἷον ὁ Δρῆς τοῦ Δρῆ, ὁ Τρῆς τοῦ Τρῆ· ταῦτα δὲ παράσημον ἤγουν παράλογον ἔχουσι τὴν γενικὴν εἰς -η καταλήγουσαν· οὐδέποτε γὰρ εὑρίσκεται γενικὴ εἰς -η καταλήγουσα, εἰ μὴ ἐπὶ τούτων τῶν δύο μόνων· εἰσὶ δὲ ταῦτα ὀνόματα κύρια· ἐὰν δὲ ὀξύνωνται, διὰ τοῦ -τος κλίνονται, οἷον σής σητός, θής θητός (σημαίνει δὲ τὸν μισθωτόν), Γνής Γνητός (Γνῆτες δέ εἰσιν οἱ Ῥόδιοι); haec regula recurrit cum exempli Δρῆς Δρῆ prolatione etiam ap. Ep. Hom. σ 6 (vid. et locos ibi allatos) **1–16,1** πάντα... σῦς] cf. Arc. 145.15 Τὰ εἰς ΥΣ μονοσύλλαβα περισπῶνται· μῦς, δρῦς, σῦς, καὶ ὗς; 104.24 (μῦς, σῦς); Theogn. 135.10 (can. 811) Τὰ εἰς -υς μονοσύλλαβα καὶ περισπᾶται καὶ διὰ τοῦ -υ- ψιλοῦ γράφεται, οἷον μῦς, δρῦς, σῦς, ὗς, πλὴν τοῦ ⟨φθοῖς καὶ τοῦ⟩ (addidi) οἶς, ὃ δηλοῖ τὸ πρόβατον; Choer. I 231.13 Ἰστέον δὲ ὅτι τὰ εἰς -υς μονοσύλλαβα περισπῶνται καὶ διὰ καθαροῦ τοῦ -ος κλίνονται κατὰ τὴν

1 τὰ V: om. A

λαβα, *ὗς*, *σῦς*. τὸ *σῶς* ἀπὸ τοῦ *σάος* συνήρηται καὶ περισπᾶται. καὶ πάντα τὰ εἰς *-ους* εἴτε ἀπαθῆ εἴτε συνηρημένα· *βοῦς*, *ῥοῦς*, τοῦ *πούς* παραλόγως ὀξυνθέντος. ταῦτα μὲν οὖν ἀρσενικά. κοινὸν δὲ τὸ *παῖς*. θηλυκὰ δὲ μόνως *ναῦς* καὶ *νᾶς*, *γραῦς*, *βαῦς*.

γενικὴν καὶ συστέλλουσι τὸ υ ἐν τῇ γενικῇ καὶ ἐν ταῖς ἑξῆς πτώσεσιν, οἷον μῦς μυός, σῦς συός, δρῦς δρυός

1 σῶς] cf. Hrd. ap. sch. E 887a[1] ζώς: τὸ ζώς ὁ Ἀσκαλωνίτης (p. 47 B.) ἀξιοῖ περισπᾶν, οὐχ ὑγιῶς· μόνον γὰρ τὸ «σῶς» (N 773. X 332) ἐστι περισπώμενον μονοσύλλαβον εἰς -ως λῆγον ('sc. exclusis propriis' Lehrs[2] 235), ἀρσενικόν, γεγονὸς ἢ ἐκ τοῦ σόος, ὡς οἴεται Φιλόξενος (fr. 596), ἢ ἐκ τοῦ σάος, ὅπερ κρεῖττον…; vid. etiam quos locos (Et. Gen., Eust.; EM 413.30, quod Erbse non affert, ex Et. Gen. pendet) cum hoc scholio composuit Erbse; de circumflexo formaque contractionis in σῶς vid. etiam Philox. fr. 596 cum testim.; Choer. I 247.14; ibid. 239.27 (σῶς ex σάος); Ep. Hom. τ 1, l. 3 et id. τ 61, l. 26 (in utroque loco σῶς ex σόος contractum); Et. Gud. 536.61 (unde EM 770.20) **2–3** καὶ… ὀξυνθέντος] cf. Arc. 145.4 Τὰ εἰς ΟΥΣ μονοσύλλαβα περισπᾶται· βοῦς πλοῦς ῥοῦς χ[ρ]οῦς καὶ τὸ οὖς οὐδέτερον. τὸ δὲ πούς ὀξύτονον, καὶ τὸ δούς μετοχή; Hrd. Π. μον. λέξ. 921.15 Πούς. τὰ εἰς -ους λήγοντα ὀνόματα μονοσύλλαβα περισπᾶται, χνοῦς, κνοῦς, χροῦς, Γλοῦς, κροῦς, θροῦς, φλοῦς, πλοῦς, ῥοῦς· σημειωτέον τὸ πούς ὀξυνόμενον· μετοχῆς γὰρ ἐδέξατο τόνον; monosyllaba in -ους plerumque simplicia sunt, de quibus § **22**; de πούς oxytono etiam Ap. Dysc. adv. 134.24; πούς cur acuatur praeter Hrd. l.c. docet Choer. I 235.37 **4** παῖς] cf. Arc. 144.18 καὶ τὰ εἰς ΑΙΣ μονοσύλλαβα (scil. περισπᾶται)· παῖς, σταῖς. τὸ δὲ δαίς ὀξύνεται; ibid. 106.5–6 iure damnavit Schmidt; Theogn. 133.33 (can. 805) Εἰς -αις λήγοντα μονοσύλλαβα διὰ τῆς -αι- διφθόγγου γραφόμενα σπάνια κατὰ τὴν κοινὴν διάλεκτον· ἔστι γὰρ τὸ παῖς κοινὸν κατὰ γένος, ὁ παῖς γὰρ καὶ ἡ παῖς, ὃ καὶ περισπᾶται· καὶ γὰρ ἀπὸ τοῦ πάϊς ἐστίν· ἔστι δὲ καὶ τὸ δαίς ὀξύτονον μόνως θηλυκόν …; Choer. I 204.15; Ep. ad A 575B[1]…τρία γάρ εἰσιν ὀνόματα εἰς -αις λήγοντα· παῖς καὶ δαίς καὶ σταῖς. τὸ μὲν παῖς καὶ σταῖς περισπᾶται, τὸ δὲ δαίς ὀξύνεται | θηλυκὰ…βαῦς] cf. Arc. 144.18 Τὸ ναῦς καὶ γραῦς περισπᾶται; 145.2 τὸ μέντοι νεῦς (ἡ ναῦς) περισπᾶται, ὥσπερ καὶ τὸ γρεῦς; γραῦς inter perispomenorum exempla laudat Choer. I 204.14; Ep. Hom. γ 19 γραῦς … ὁ κανών· δύο μόνα εἰσὶν εἰς -αυς θηλυκὰ μονοσύλλαβα περισπώμενα, ναῦς καὶ γραῦς… (vid. etiam locos ibi allatos); eiusdem regulae mentionem facit Ep. Hom. ν 2; Choer. I 213.5 de νεῦς et γρεῦς loquitur

1 τὸ…περισπᾶται] haec cum monosyllabis in -ως desinentibus § **29** optime concinunt, sed fortasse ob similitudinem vocum σῦς et σῶς hoc loco conlocata sunt **4** βαῦς] nomen retinui coll. § **145** (*βαύ βαύ, βαΰζω*) et e.g. βαΰστικός; vid. DGE s.vv.; '…βαῦς, quod quid sit non habeo dicere, neque certum adminiculum praebent Hesychii glossae Βαῦ εἶδος ἄνθους et Βλαῦδες ἐμβάδες, κρηπῖδες' Lobeck 91

29. Ἐν οἷς καὶ τὰ εἰς -*ως* μονοσύλλαβα κύρια περισπᾶται· *Κῶς*, *Γλῶς*, *Λῶς*, *Τλῶς*, *Κρῶς*, πόλεων ὀνόματα. τὸ *βῶς* κατὰ μεταβολὴν Δωρικήν ἐστι τὸ *βοῦς*. τὸ δὲ «δὼς ἀγαθή» (Hes. Op. 356) ὀξυνόμενον οὐ κύριον.

1–4 Ἐν... κύριον] canon Iohannis est: nomina propria, perispomena; nomina appellativa, oxytona. huic rationi similia sunt quae ap. Choer. I in 333.31 legimus Ἰστέον δὲ ὅτι τὸ δώς ... ἄκλιτόν ἐστι· καὶ ἄξιόν ἐστι ζητῆσαι, διατί τὸ δώς ἄκλιτόν ἐστι· καὶ ἔστιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· τὰ εἰς -ως μονοσύλλαβα θηλυκὰ καὶ περισπῶνται καὶ κύριά εἰσιν, οἷον ἡ Κῶς, ἡ Τλῶς, ἡ Κρῶς (εἰσὶ δὲ ταῦτα ὀνόματα πόλεων)· ἐπειδὴ οὖν τὸ δώς θηλυκὸν καὶ μονοσύλλαβον ὂν οὐκ ἔστι κύριον ἀλλ' οὔτε δὲ περισπᾶται, τούτου χάριν ἄκλιτόν ἐστιν (cf. Et. Gen. aliosque locos ab de Stefani ad Et. Gud. 386.11 allatos); aliam tamen viam ingressus est Arcadius: quae nomina sunt imparisyllabae declinationis, oxytona; quae vero parisyllabae declinationis, perispomena: Arc. 145.20 Τὰ εἰς ΩΣ ἀρσενικὰ μονοσύλλαβα περιττοσύλλαβα ὀξύνεται· Τρώς, θώς, πλώς (ἰχθῦς τις). τὸ μέντοι κατὰ διάλεκτον τροπῇ γινόμενον βῶς ἀπὸ τοῦ βοῦς βοός, περισπᾶται. τὰ μέντοι ἰσοσύλλαβα περισπῶνται· σῶς Κρῶς Γλῶς Κῶς (ὀνόματα ἡρώων) χωρὶς τοῦ ζώς. καὶ τὸ δώς ὀξύνεται; idem canon subiectus est Choerobosco I in 247.12 Ἰστέον δὲ ὅτι τὰ εἰς -ως λήγοντα μονοσύλλαβα εἰ μὲν περισπῶνται ἀποβολῇ τοῦ -ς ποιοῦσι τὴν γενικήν, οἷον ὁ σῶς τοῦ σῶ, οἷον (N773) νῦν τοι σῶς αἰπὺς ὄλεθρος, ὁ Κρῶς τοῦ Κρῶ, ὁ Τλῶς τοῦ Τλῶ, ὁ Κῶς τοῦ Κῶ· ταῦτα δὲ ὀνόματά εἰσιν ἡρώων ἀρσενικὰ κύρια ὁμοφωνοῦντα ταῖς πόλεσιν, εἰσὶ γὰρ καὶ ὀνόματα πόλεων ταῦτα, ἀλλὰ τότε θηλυκῶς λέγονται, οἷον ἡ Κρῶς, ἡ Τλῶς, ἡ Κῶς· ἐξ ἐκείνων δὲ ὠνομάσθησαν καὶ αἱ πόλεις· εἰ δὲ ὀξύνονται τὰ εἰς -ως μονοσύλλαβα, περιττοσυλλάβως κλίνονται, χωρὶς τοῦ ζώς, (E887) ἤ κε ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσιν· τοῦτο γὰρ ἀποβολῇ τοῦ -ς ποιεῖ τὴν γενικήν, οἷον ὁ ζώς τοῦ ζῶ; Eust. Il. I 718.30 ὁ χρὼς συνεκδραμὼν κατὰ τὸν ὀξὺν τόνον τῷ ἱδρώς, οὐ μὴν τοῖς ἀνομοιογενέσι μονοσυλλάβοις, ὁποῖα ἡ Κῶς, ἡ Τλῶς, ἡ Κρῶς ad quae van der Valk annotat 'fort. annotationem ex Herodiano hausit; nomina enim rariora Τλῶς et Κρῶς grammaticum antiquum subolent'; de Κῶς masculino Theogn. 135.22 (can. 812); de βῶς: Choer. I 248.16 τὸ γὰρ βοῦς βῶς λέγουσιν αἱ διάλεκτοι, καὶ ἰδοὺ περισπᾶται καὶ διὰ καθαροῦ τοῦ ος κλίνεται, βοός γάρ; Hrd. ap. EM 741.50 nihil de circumflexo accentu praecipere videtur (vid. locum ap. Lentz II 778.3 emendatum); de σῶς vid. § **28**

1 Ἐν οἷς] scil. ἐν τοῖς εἰς -ς λήγουσιν ἀρσενικοῖς καὶ θηλυκοῖς (vid. § **28** init.)
2 Λῶς Lobeck 88: χῶς AV

30. Τὰ εἰς -*α* θηλυκὰ μονοσύλλαβα περισπᾶται πάντα· *μνᾶ*, *Χνᾶ* – ἡ Φοινίκη οὕτως ἐκαλεῖτο πρότερον – *Φλᾶ*, νῆσος.

31. Τὰ εἰς -*η* ἐκ συναιρέσεως περισπᾶται· *γέα γῆ*, *νέα νῆ*, *πλέα πλῆ*.

1–2 Τὰ…νῆσος] cf. Hrd. Π. μον. λέξ. 912.23 Ἀθηνᾶ. οὐδὲν εἰς -να λῆγον ὑπὲρ μίαν συλλαβὴν θηλυκὸν περισπᾶται … προσέθηκα δὲ ὑπὲρ μίαν συλλαβήν, ἵνα ἐκφύγωμεν τὸ σύνηθες μνᾶ Ἀττικοῖς τε καὶ τῇ νῦν χρήσει καὶ ⟨τὸ⟩ ἀπεξενωμένον {τὸ} Χνᾶ· οὕτω γὰρ πρότερον ἡ Φοινίκη ἐκαλεῖτο (Hecat. FGrHist 1 F 272); hoc canone Arcadii liber XIV caret; huic autem, p.110.14, pro Goettlingii infelici μνᾶ restitue Schmidtii Δανᾶ); de Χνᾶ etiam Choer. I 116.3; St. Byz. 694.11 **3–4** Τὰ…πλῆ] hoc canone caret Arcadius; Hrd. Π. μον. λέξ. 911.10 Γῆ. τὰ εἰς -η λήγοντα θηλυκὰ ὀνόματα ἐπ' εὐθείας περισπώμενα κατὰ τὴν συνήθειαν καὶ τὴν τῶν παλαιῶν χρῆσιν ἀεὶ θέλει ὑπὲρ μίαν συλλαβὴν εἶναι ἔχειν τε καὶ ἐντελέστερα προϋποκείμενα. συκέα συκῆ … χαιρέτω ἄρα ἡ γῆ μονοσύλλαβος οὖσα καὶ συνήθης τῇ νῦν χρήσει καὶ τῇ τῶν παλαιῶν πάντων … τό τε πλῆ εἰρημένον παρὰ Διογένει τῷ Ἀπολλωνιάτῃ (DK 64 B 10) ἀντὶ τοῦ πλέῃ θηλυκοῦ ἐπιθετικῶς ἄγνωστον τοῖς ἄλλοις. ἀλλὰ καὶ ἡ νέα νῆ εἰρημένον ἐν Σαμίων ὥροις· «τῇ δὲ νῇ τῶν Πυθιογειτόνων τις τὸν φυρτὸν ἐλάμβανε» (FGrHist 544 F 2). καὶ παρὰ Ξενοφάνει ἐν δ' Σίλλων (DK 21 B 42)· «καί κ' ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο». ἡ δὲ γῆ κοινὴ συνήθης; de synaeresi in γῆ dixerunt: St. Byz. γ 70; Choer. Ep. Ps. 58.15; Ep. ad Α 270 (cf. et Et. Gen. s.v. γαῖα quod Dyck affert); Eust. Il. I 289.9; IV 222.3; contractionem in νῆ attigit Eust. Il. I 592.11

2 Φοινίκη V: Φοινικὴ A | Φλᾶ Goettling 407 coll. Hdt. IV 178, cuius tamen libri litterae α acutum imponunt (Φλά): Φνᾶ AV **3** συναιρέσεως V: συναιρέως A

32. Ταῦτα ἐν τοῖς μονοσυλλάβοις περισπώμενα, τὰ δὲ λοιπὰ ὀξύνεται· *φώς*, *Τρώς*, *μήν*, *χήν*, *Ζεύς*, *τρώξ*, *θώψ* καὶ τὰ λοιπά.

2 φώς Τρώς] canones de accentu nominum monosyll. masc. et femin. in -ως desinentium exponuntur ad § **29**; huius generis exempla congerit Choer. I 247.34 haecce: θώς, δμώς, Τρώς, πλώς, φώς, χρώς; ex Choer. pendet Ep. Hom. τ 1 (vid. et locos a Dyck allatos); pauca tantum de accentu legimus ap. Theogn. 135.19 (can. 812); de φώς cf. etiam Ap. Soph. 166.2 τὸ δὲ ἀρσενικὸν (scripsi: ἑνικόν cod.) λέγεται ὀξυτόνως· «ἀλλότριος φώς». τὸ δὲ φῶς περισπωμένως; sch. B 565; sch. D ad eundem locum; Hesych. φ 1119; Ioh. Philop. de voc. φ 11 (rec. A); ibid. φ 4 (rec. B), φ 11 (rec. C), φ 12 (rec. D), φ 18 (rec. E); Eust. Il. I 125.21 | μήν χήν] canonem praebet Arc. 143.17 Πᾶν ὄνομα μονοσύλλαβον εἰς Ν λῆγον ἀρσενικὸν καὶ θηλυκὸν ὀξύνεται· Πάν (ὁ δαίμων), Ἄν (κύριον), Ζήν, μήν, χήν, ῥήν (τὸ θρέμμα), χωρὶς τοῦ Θῶν Θῶντος (κύριον); Theogn. 132.32 (can. 801) Τὰ εἰς -ην μονοσύλλαβα ἀρσενικὰ πάντα ὀξύνεται καὶ διὰ τοῦ -η- γράφεται, εἰ μὴ δικατάληκτα εἴη, καὶ προσθέσει τοῦ -ος τὴν γενικὴν ποιεῖ, οἷον σπλήν σπληνός, χήν χηνός, μήν μηνός, σφήν σφηνός, Ζήν Ζηνός (ὁ Ζεύς), ῥήν ῥηνός (τὸ πρόβατον)· τὸ φρὴν μόνον θηλυκόν ...; Choer. I 263.26 inter monosyllaba oxytona in -ην desinentia refert haec: σπλήν, σφήν, μήν, Ζήν, ῥήν, χήν, φρήν; Ep. ad A 55A[2] | Ζεύς] regulam legimus ap. Arc. 145.1 Τὰ εἰς ΕΥΣ μονοσύλλαβα ὀξύνεται· Ζεύς, Φλεύς (ὁ Διόνυσος), Νεύς (ποταμός), Δνεύς; Choer. I 213.5 Ἰστέον δὲ ὅτι τὰ εἰς -ευς λήγοντα ὀνόματα ἀρσενικά, εἴτε μονοσύλλαβα εἴτε ὑπὲρ μίαν συλλαβήν, πάντα ὀξύτονά εἰσιν· εἰσὶ δὲ δηλονότι κοινολεκτούμενα, οἷον Ἀχιλλεύς Ἀτρεύς Πηλεύς Θησεύς βασιλεύς ἱερεύς Ζεύς Φλεύς (ὁ Διόνυσος) Νεύς (ὄνομα ποταμοῦ) Δνεύς (ὄνομα πόλεως ἐν Λυκίᾳ ἔνθα ἀνετράφη ἡ Χίμαιρα) σεύς (ὁ σκώληξ) ...; quae recurrunt ap. id. Ep. Ps. 70.4; ex Choer. hausit EM 189.40; de Ζεύς, Φλεύς, Νεύς, Δνεύς, σεύς, θεύς disputat Hrd. Π. μον. λέξ. 910.27, sed eorum accentum non attingit | τρώξ] de accentu nominum monosyll. in -ξ exeuntium praeceptum exponitur ad § **26** | θώψ] de regula vid. Arc. 146.17 Τὰ εἰς Ψ μονοσύλλαβα ὀξύνεται· κνάψ (ὁ δαλός), μάψ (ὄρνεόν τι), φλέψ, ἴψ (ὁ σκώληξ), λίψ, Νίψ (ὄνομα κρήνης) καὶ κνίψ.

1 ante ἐν add. τὰ Bloch, haud male **2** ὀξύνεται] ὀξ^{υ} A: ὀξύνονται V | τρώξ scripsi (vid. Xenis 107): τρύξ AV

33. Τῶν δὲ ὑπὲρ μίαν συλλαβὴν ἐν μὲν τοῖς εἰς *-ν* λήγουσιν ἀρσενικοῖς τὰ εἰς *-ων* ἐπὶ τέλει τὸν τόνον ἔχοντα, εἰ διὰ τοῦ *-ντ-* κλίνοιτο, περισπᾶται. εἰ δὲ μή, οὐκ ἔτι, πλὴν μόνου τοῦ *Ποσειδῶν*· τοῦτο γὰρ περιεσπάσθη συνῃρημένον ἐκ τοῦ *Ποσειδέων*. τῶν δὲ περισπωμένων ὑποδείγματα· *Δημοφῶν*, *ἀμνοκῶν*, *Ἀντιφῶν* 5 καὶ εἴ τι τοιοῦτον.

1–6 Τῶν…τοιοῦτον] canonem legimus ap. Arc. 15.21 Τὰ εἰς ΩΝ ἐν τέλει ἔχοντα τὸν τόνον καὶ κλινόμενα διὰ τοῦ ΝΤ περισπᾶται· Ξενοφῶν, Ἱπποκῶν. σεσημείωται τὸ Ποσειδῶν καὶ ταῶν καὶ τυφῶν περισπώμενα μέν, οὐ μέντοι διὰ τοῦ ΝΤ κλινόμενα; exempla huiusmodi nominum canone modo expresso modo suppresso afferuntur ap. Arcadium multa: in -βων ap. id. 9.1, in -κων ap. id. 11.14, in -ρων ap. id. 14.3, in -φων ap. id. 15.11, in -χων ap. id. 15.15; etiam ap. Hrd. Π. μον. λέξ. 914.6, Theogn. 29.29 (can. 161), ibid. 30.33 (can. 169); Hrd. κλ. ὀν. 643.1 = Eust. Il. I 542.20, Theod. I 21.8, Choer. I 282.4 **1** ὑπὲρ…συλλαβὴν] Herodianus de accentu nominum hypermonosyllaborum in libris I–XIII Catholicae egerat, cf. Arc. 3.2–4.8

2 τὸν τόνον V et Dindorf quasi ex A: τῶν τόνων A | -ντ- A: ν V **4** post συνῃρημένον fortasse excidit ὂν

34. Πάντα τὰ εἰς -*ας* μακροκατάληκτα ἐπὶ τῷ τέλει τὸν τόνον ἔχοντα, ὧν ἡ κλίσις ἢ κατ' ἀποβολὴν τοῦ -*ς* ἢ διὰ τοῦ -*ντ*-· *Μητρᾶς Μητρᾶ, Ζηνᾶς Ζηνᾶ, Γλισᾶς Γλισᾶντος, πελεκᾶς*

1–24,2 Πάντα... περισπᾶται] similiter Choer. Onom. 42.26 (Herodiano κλ. ὀν. 657.5 tribuit Lentz) Τὰ εἰς -ας περισπώμενα δύο κλίσεις ἐπιδέχεται· καὶ ἰσοσυλλάβως κλίνεται, οἷον Μηνᾶς Μηνᾶ, καὶ περιττοσυλλάβως, οἷον πελεκᾶς πελεκᾶντος· χωρὶς τῶν Ἰωνικῶς ἐκφερομένων διὰ τοῦ -δος, οἷον Βιττᾶς Βιττᾶδος, Κυρᾶς Κυρᾶδος, ἔστι δὲ ὀνόματα κύρια; canonem declinatione nisum quo perispomena huismodi nomina a barytonis secernantur Arcadius non exponit; leguntur ap. eum haec: 21.9 Τὰ εἰς ΑΣ πολυσύλλαβα ἐκτεταμένον ἔχοντα τὸ Α βαρύνεται ἢ περισπᾶται. καὶ βαρύνεται μὲν Αἴας Θόας· περισπᾶται δὲ ἀλλᾶς (Lentz 525.26: ἀρκάς MO: Ἀργᾶς Meineke FCG III 389) πελεκᾶς. οὐδέποτε δὲ ὀξύνεται, χωρὶς εἰ μὴ ὦσιν ἀπὸ παθητικοῦ παρακειμένου σύνθετα, ὅθεν τὸ ἱμάς καὶ ἀνδριάς ὡς ἐκτεταμένον ἔχοντα τὸ ΑΣ σημειούμεθα ὀξυνόμενα, καὶ τὸ χαλκοκράς καὶ γαλακτοκράς ὡς ἀπὸ παθητικοῦ παρακειμένου; (Ep. Hom. ι 57, l. 8 similia atque Arcadius tradit; ex Ep. Hom. fluxit Et. Gud. 277.50, unde EM *470.233; ap. Et. Gud. βορρᾶς, ἀλλᾶς pro βοναλλᾶς restitue et ἀλλαντοπῶλαι pro βαλλαντοπῶλαι, ap. EM autem pro βορᾶς scribendum βορρᾶς); praeterea alia ex perispomenis hypermonosyllabis in -ας nominibus in varias partes Arcadius distinguit, hoc est, in contracta, deminutiva et episcommata, alia tamen in incertum relinquit (praeter ea quae inferius laudantur cf. 21.19 Τὰ εἰς ΒΑΣ βαρύνονται· βίβας... τὸ δὲ ἀκριβᾶς περισπᾶται; 22.1 Τὰ εἰς ΓΑΣ πάντα βαρύνεται, εἰ μὴ ἐπὶ σκώμματος εἴη, ὡς ἔχει τὸ φαγᾶς· γίγας... σεσημείωται τὸ ἀτταγᾶς περισπώμενον, ὅπερ καὶ ἀτταγήν λέγεται; 22.6 Τὰ εἰς ΔΑΣ βαρύνεται, εἰ μὴ διὰ τοῦ ΔΟΣ κλίνοιτο ἢ συναληλιμμένα εἴη ἢ ὑποκοριστικά· Ἴδας... τὸ μέντοι Θευδᾶς περισπᾶται, ὡς Μητρᾶς, Ζηνᾶς, Πυθᾶς· τὸ δὲ Κερκιδᾶς ἀπὸ συναλοιφῆς; 22.10 Τὰ εἰς ΑΣ ἐκτεταμένον ἔχοντά τι πρὸ τοῦ α τῶν διπλῶν βαρύνονται· Βύζας ... τὸ μέντοι Ὑψᾶς περισπᾶται, καὶ τὸ ἑξᾶς ἐπὶ ποσότητος ὄν; 22.13 Τὰ εἰς ΛΑΣ δι' ἑνὸς Λ βαρύνονται, εἰ μὴ ἐκ συναλοιφῆς εἴη· Γέλας...τὸ μέντοι ἱλᾶς περισπᾶται ἀπὸ τοῦ ἱλάεις; 22.20 Τὰ εἰς ΜΑΣ βαρύνεται· Τόλμας ... εἰ μὴ κατὰ τροπὴν εἴη Δωρικήν, ὡς τὸ Ἑρμᾶς καὶ τὸ Ἀρτεμᾶς ὑποκοριστικόν. σεσημείωται δὲ τὸ ἱμάς); (Hrd. Π. μον. λέξ. 939.20 de solis eis hypermon. in -ας nominibus praecipit quae ante -ας vocalem habent); de ἱμάς et ἀνδριάς vid. plura inferius **2–3** Μητρᾶς Μητρᾶ] praeceptum exponitur ap. Arc. 23.8 Ἔτι τὰ εἰς ΡΑΣ (scil. βαρύνεται) μὴ ὄντα ὑποκοριστικά, ἢ συναληλιμμένα, ἢ νόμισμα δηλοῦντα· Θήρας... τὸ μέντοι Μητρᾶς Ἡρᾶς τετρᾶς βορρᾶς περισπᾶται; exemplum Μητρᾶς affert Choer. I 142.36 **3** Ζηνᾶς Ζηνᾶ] de regula vid. Arc. 23.4 Τὰ εἰς ΝΑΣ ὁμοίως (scil βαρύνεται), εἰ μὴ εἴη ὑποκοριστικά, ἢ ἐπὶ σκώμματος· ἀρτύνας ... Μηνᾶς μέντοι καὶ Ζηνᾶς ὑποκοριστικά. τὸ δὲ δακνᾶς περισπᾶται, ὅτι ἐπὶ σκώμματος τάσσεται; exemplum Ζηνᾶς ap. Choer. I 142.36

2 κατ'] κα^{τ} A: κατὰ V **3** Γλισᾶντος Dindorf praef. v coll. Choer. I 385.16: γλισάντος AV

πελεκᾶντος, *ἀλλᾶς ἀλλᾶντος* καὶ εἴ τι τοιοῦτον. Ἰωνικῶς παραλόγως ⟨τὰ⟩ διὰ τοῦ -δ- κεκλιμένα, ὧν τὸ -α- μακρόν· *Βοιβᾶς Βοιβᾶδος*, *Βιττᾶς Βιττᾶδος*. τὰ δὲ παρὰ παρακείμενον συντεθέντα, οἷόν ἐστι τὸ *χαλκοκράς*, *νεοκράς*, οὐκ ἀντίκειται ὀξυνό-

Γλισᾶς Γλισᾶντος] de nominativo circumflexo vid. Choer. I 385.14 ἀπὸ δὲ τῶν εἰς -ας περισπωμένων (scil. εὐθειῶν) ὑπὲρ μίαν συλλαβὴν οὖσαι (scil. αἱ γενικαί) ἐκτεταμένον ἔχουσι τὸ -α- (scil. κατὰ τὴν παραλήγουσαν), τουτέστι φύσει μακρόν, οἷον ἀλλᾶς ἀλλᾶντος, πελεκᾶς πελεκᾶντος, Γλισᾶς Γλισᾶντος (ἔστι δὲ ὄνομα πόλεως); etiam Hrd. ap. sch. **Μ** 20b; de genetivo properispomeno Hrd. ap. sch. Β 504b ⟨Γλισαντ':⟩ ἡ συνήθεια προπερισπᾷ τὸ ὄνομα, ἡ δὲ ἱστορία προπαροξύνει **3–22,1** πελεκᾶς πελεκᾶντος] praeter locos supra laudatos, de declinatione cf. sch. vet. et Tricl. ad Ar. Av. 882 καὶ πελεκᾶντι: ...πελεκὰν μέντοι πελεκᾶνος κοινῶς, πελεκᾶς δὲ πελεκᾶντος Ἀττικῶς, πελεκᾶς πελεκᾶ Δωρικῶς (unde Su. π 937)

1 ἀλλᾶς ἀλλᾶντος] canon ap. Arc. 22.16 Τὰ εἰς δύο ΛΛ ⟨****⟩ βαρύνεται· κύλλας ... χωρὶς εἰ μὴ ἐπὶ σκώμματος εἴη, ἢ ἔχοι τι ἐντελέστερον. τὸ μέντοι πελλᾶς (ὁ γέρων) περισπᾶται ἐπὶ σκώμματος ὄν, καὶ τὸ ἀλλᾶς καὶ βιλλᾶς; cf. Hrd. ap. Eust. I 464.18 τὸν μέντοι παρὰ τῷ Κωμικῷ (Ar. Eq. 161) ἀλλᾶντα προπερισπᾷ ἐκεῖνος (scil. Herodianus), ὀκνῶν βαρύνειν αὐτὸν κατὰ τὴν κοινὴν συνήθειαν. Λέγει γάρ, ὅτι ὁ ἀλλᾶς ὡς ἀπὸ τοῦ ἀλλάεις κέκλιται διὰ τοῦ -ντ-, ἵνα ᾖ ἀλλάεντος καὶ κατὰ κρᾶσιν ἀλλᾶντος. ὁ δὲ τοιοῦτος λόγος ἀπαιτεῖ καὶ τὴν ἐντελῆ εὐθεῖαν τοῦ ἀλλᾶντος περισπᾶσθαι· δῆλον γὰρ ὡς ὁ ἀλλάεις γενόμενος ἀλλᾶς περισπωμένην ἀπαιτεῖ τὴν ἀπὸ κράσεως ('ὁ δὲ τοιοῦτος — κράσεως Eust. ipse' van der Valk); alii de ἀλλᾶς loci supra afferuntur **2** παραλόγως] hoc est, contra regulam **3–23,1** τὰ...κλίνεται] de canone cf. [Hrd.] ἐπιτ. ὀνομ. καν. 7.18 (cf. Lentz II 635.29) Τὰ ἐκ παρακειμένου συνεσχηματισμένα ὀξύνεται καὶ διὰ τοῦ -τ- κλίνεται· χαλκοκράς χαλκοκρᾶτος, νεοκρᾶτος. τὸ μέντοι εὔκρας βαρυτόνως παρ' Εὐριπίδῃ (fr. 197 Kannicht) ἀνεγνώσθη et Choer. I 159.20 τὰ εἰς -ς λήγοντα ὀξύτονα σύνθετα ἀπὸ ῥήματος, μίαν συλλαβὴν φυλάττοντα τοῦ παθητικοῦ παρακειμένου, διὰ καθαροῦ τοῦ -τος κλίνονται, εἴτε εἰς -ας ὦσιν εἴτε εἰς -ης εἴτε εἰς -ως, οἷον κέκραται χαλκοκράς χαλκοκρᾶτος (ὁ χαλκῷ κεκραμένος), νεοκράς νεοκρᾶτος (ὁ νεωστὶ κεκραμένος), βέβληται ἀβλής ἀβλῆτος, προβλής προβλῆτος, τέθνηκα ἡμιθνής ἡμιθνῆτος, unde Et. Gen. vol. I p. 12.4, (vid. et locos a L.–L. allatos); ex Choer. fluxit etiam Ep. Hom. π 53, l. 69, unde Et. Gud. 480.7 s.v. προβλῆτι; etiam Choer. I 324.28

1 πελεκᾶντος...ἀλλᾶντος Dindorf praef. v coll. Choer. I 385.16: πελεκάντος, ἀλᾶς ἀλάντος AV | εἴ...τοιοῦτον V: ὅ τι τοιούτων A | Ἰωνικῶς Lentz 51.10 coll. Choer. Onom. 42.28: ἴσως AV: ἰακῶς temptavi (cf. Ap. Dysc. pron. 88.22 etc), sed cf. §§ **136**, **180** **2** τὰ addidi **3** παρὰ παρακείμενον] πε' πρου A: περὶ πεͬ V **4** χαλκοκράς A: χαλκοκρᾶς V | νεοκράς AV^p.c.^: νεοκρᾶς V^a.c.^

μενα· διὰ γὰρ μόνου τοῦ -τ- κλίνεται. σεσημείωται τὸ *ἱμάς* καὶ

1–24,2 τὸ…περισπᾶται] cf. Hrd. Π. μον. λέξ. 939.20 Ἀνδριάς. τὰ εἰς -ας λήγοντα καθαρόν, ἐκτεταμένον ἔχοντα τὸ -α-, εἰ ἔχοι πρὸ τέλους φωνῆεν ἢ φωνήεντα, βαρύνεσθαι θέλει· δρακοντίας, ὀνοματίας, κοππατίας, Λοξίας, Ἐρυξίας, Βορέας, Ἡρέας, Θαρσέας, Κρατεύας, Μινύας, Φλεγύας, Ἀνδρέας· μυρίον ἐστὶ πλῆθος τοιούτων ὀνομάτων ἀδιάπτωτον. σημειῶδες ἄρα τὸ ἀνδριάς ὀξυνόμενον. οὐκ ἀγνοῶ δὲ ὅτι Ἡλιόδωρος (fr. 52 Dyck) ἐβούλετο αὐτὸ περισπᾶν· ὁμοίως δὲ καὶ τὸ ἱμάς. τὸ δ' αὐτὸ ἠξίου καὶ Δράκων ὁ Στρατονικεύς, ἔτι δὲ καὶ Τυραννίων (fr. 13 Haas). οὐκ ἔχει δὲ οὕτω τὰ τῆς ἀναγνώσεως, ὡς ἐν ἑτέροις ἐδήλωσα; ad quae Lehrs[2] 116 annotat: 'eum posuit (scil. Herodianus) h.l. canonem ex quo ἀνδριάς μονῆρες fieret: sunt alii canones, quibus partim quantitate, partim accentu, partim genere ita exemtum est, ut cum ἱμάς coniugetur'; his de canonibus vid. notam quae sequitur **1–24,1** ἱμάς…ἀνδριάς] Choer. I 125.22 Πάλιν ἀποροῦσί τινες λέγοντες, διατί ἀπὸ τῶν εἰς -ας βαρυτόνων (scil. ἀρσενικῶν) ἤρξατο ὁ τεχνικὸς πρῶτον, καὶ μὴ ἀπὸ τῶν εἰς -ας ὀξυτόνων ἢ ἀπὸ τῶν εἰς -ας περισπωμένων. Καὶ ἔστιν εἰπεῖν, ὅτι ἀπὸ τῶν εἰς -ας ὀξυτόνων διὰ τοῦτο οὐκ ἤρξατο ὁ τεχνικός, ἐπειδὴ οὐκ εἰσὶ τὰ εἰς -ας ὀξύτονα ὑπὲρ μίαν συλλαβὴν μόνως ἀρσενικά, ἀλλ' ἢ μόνως θηλυκά, ὡς ἐπὶ τοῦ ἡ τριάς, ἢ κοινὰ τῷ γένει [τουτέστιν ἀρσενικοῦ καὶ θηλυκοῦ], ὡς ὁ φυγάς καὶ ἡ φυγάς, ὁ Ἀρκάς καὶ ἡ Ἀρκάς, ὑπεσταλμένου τοῦ ἀνδριάς ἀνδριάντος καὶ ἱμάς ἱμάντος, ἅτινα καὶ παραλόγως ὀξύνονται, ὥς φησιν Ἡρωδιανὸς ἐν τῇ Καθόλου; ibid. 325.5 Ἰστέον δὲ ὅτι καλῶς πρόσκειται ἐν τῷ κανόνι «θηλυκά», οἷον «τὰ εἰς -ας λήγοντα θηλυκὰ καὶ ὀξύνονται καὶ συνεσταλμένον ἔχουσι τὸ -α- καὶ διὰ τοῦ -δος κλίνονται», διὰ τὸ ἀνδριάς ἀνδριάντος καὶ ἱμάς ἱμάντος· ταῦτα γὰρ καὶ μακρὸν ἔχουσι τὸ -α- καὶ διὰ τοῦ -ντ- κλίνονται ὀξύτονα ὄντα, ἀλλ' οὐκ εἰσὶ θηλυκὰ ἀλλ' ἀρσενικά, ὁ ἱμάς γὰρ καὶ ὁ ἀνδριάς· ταῦτα δὲ καὶ παραλόγως ὀξύνονται, ὡς δείκνυσιν ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου; ἱμάς et ἀνδριάς cur oxytona sint docet Choer. I 131.5 Ἐπειδὴ δὲ μετοχικῶν ἐμνημονεύσαμεν, δεῖ γινώσκειν ὅτι μετοχικὰ λέγονται τὰ ἔχοντα καὶ τόνον καὶ κλίσιν μετοχῆς, οἷον ἱμάς ἱμάντος, ἀνδριάς ἀνδριάντος, ἐπειδὴ καὶ τόνον καὶ κλίσιν μετοχῆς ἔχουσιν· ὥσπερ γὰρ ἱστάς ἱστάντος καὶ κιχράς κιχράντος, οὕτω καὶ ἱμάς ἱμάντος καὶ ἀνδριάς ἀνδριάντος; similia ap. [Hrd.] ἐπιτ. ὀνομ. καν. 7.14

1 διὰ Dindorf quasi ex A: δὴν AV | ἱμάς Dindorf quasi ex A: ἰμὰς AV

ἀνδριάς ὀξυνθέντα· *ἱμάντος* γὰρ καὶ *ἀνδριάντος*. ἅπερ παρ' Ἀττικοῖς περισπᾶται.

1 ἱμάντος…ἀνδριάντος] hinc intelligitur cur grammaticus ἱμάς et ἀνδριάς notabilia esse dixerit; sensus est: ἱμάς et ἀνδριάς non sunt perispomena, quamquam declinatio eorum per -ντ- formatur; ἱμάς et ἀνδριάς cur per -ντ- declinentur exponit Hrd. κλ. ὀν. 637.14 = Eust. Il. I 464.16 ... ἐκ τῶν Ἡρωδιανοῦ δῆλον, ὃς παρατιθεὶς τὸ ἱμάς καὶ ἀνδριάς ἐκτεινόμενα ἐν τῇ ληγούσῃ κατὰ μετοχάς, μιμήσασθαί φησιν αὐτὰ καὶ τὴν τῶν μετοχῶν κλίσιν τοῦ ἱστάς ἱστάντος καὶ βιβάς βιβάντος; eadem ratio ap. Choer. I 131.5 et [Hrd.] ἐπιτ. ὀνομ. καν. 7.14; ἱμάς / ἀνδριάς quid ab Ἀρκάς declinatione differant discas ex [Hrd.] ἐπιτ. ὀνομ. καν. 6.10 (cf. Lentz II 634.18) et Ep. Hom. ι 57, lin. 12; quid a λαμπάς et similibus ex Choer. I 325.5 **1–2** ἅπερ…περισπᾶται] scil. nominativi *ἱμᾶς*, *ἀνδριᾶς*; accusativos et genetivos properispomenos esse ap. Atticos (recentes) dicunt Hrd. ap. sch. Ξ 214b ἱμάντα· τὸ γὰρ ἐκτεταμένον νέας Ἀτθίδος, ὡς ἀλλᾶντα et Ep. Hom. ι 57 (unde Et. Gud. 277.56) ... ἐπὶ μέντοι τῆς γενικῆς ἱμάντος, οἱ μὲν Ἀττικοὶ τῷ χρόνῳ τῆς εὐθείας ἀκολουθοῦντες προπερισπῶσι τὴν γενικήν, ἡ δὲ κοινὴ συνήθεια τοῦτο οὐ παρέλαβε διὰ τὸν κανόνα τὸν ⟨λέγοντα⟩· πάντα τὰ διὰ τοῦ -ντ- κλινόμενα —· ('post κλινόμενα spatium 10 fere litterar. vac. reliqu. d' Dyck) ἐπάνω γὰρ θέσει μακρᾶς περισπωμένη οὐ τίθεται; cf. etiam Hrd. Π. μον. λέξ. 939.24, quamquam nihil de tonosi attica tradit ...οὐκ ἀγνοῶ δὲ ὅτι Ἡλιόδωρος (fr. 52 Dyck) ἐβούλετο αὐτὸ (scil. ἀνδριάς) περισπᾶν· ὁμοίως δὲ καὶ τὸ ἱμάς. τὸ δ' αὐτὸ ἠξίου καὶ Δράκων ὁ Στρατονικεύς, ἔτι δὲ καὶ Τυραννίων (fr. 13 Haas)

1 ἱμάντος] Dindorf quasi ex A: ἰμάντος AV **2** περισπᾶται (scil. nominativi ἱμάς et ἀνδριάς): προπερισπᾶται Dyck 56 verbum ad ἱμάντος et ἀνδριάντος referens (i.e. ἱμᾶντος, ἀνδριᾶντος); vid. Xenis[3]

35. Πάντα τὰ εἰς -*ης* ἐπὶ τῆς τελευταίας ἔχοντα τὸν τόνον, εἰ παρὰ τὸ *κλέος* εἴη συντεθέντα, περισπᾶται, οἷον *Ἡρακλῆς*, *Σοφοκλῆς*. καὶ ὅσα εἰς -*ου* ἔχει τὴν γενικὴν χωρὶς τοῦ -*ς*· *Ἑρμῆς* *Ἑρμοῦ*, *Θαλῆς Θαλοῦ*, *Σωσῆς Σωσοῦ*, ἐκ τοῦ *Ἑρμέας*,
5 *Θαλέας*, *Σωσέας* πάλιν συνῃρημένα. καὶ ὅσα διὰ τοῦ -*ντ*- κλίνε-

1–26,3 Πάντα…λοιπά] ex eis quae ap. Arcadium leguntur hic canon elici potest: quae inter nomina propria bisyllaba simplicia in -ης desinentia aut parisyllabae sunt declinationis (24.19, 25.4, 26.1) aut contracta sunt (24.18, 25.23, 26.10) aut in paenultima habent vocalem brevem (24.19, 25.10) aut cum κλέος composita sunt, perispomena sunt (superfluum puto canonem de eis nominibus quae in paenultima habent vocalem -υ- et parisyllabae sunt declinationis, 24.9, 26.17); adiectiva autem alio canone complectitur Arcadius (26.12); nonnullos Arcadii locos infra offendes; Choer. I 153.35 Ἰστέον δὲ ὅτι τὰ εἰς -ης περισπώμενα τρεῖς κλίσεις ἐπιδέχονται· τὴν εἰς -ους, ὅταν παρὰ τὸ κλέος ὦσιν, οἷον Ἡρακλῆς Ἡρακλοῦς καὶ Σοφοκλῆς Σοφοκλοῦς· τὴν διὰ τοῦ -ντ-, ὅταν ἀπὸ συναιρέσεως τῶν εἰς -ηεις ὦσιν, οἷον δαφνήεις δαφνήεντος δαφνῆς δαφνῆντος, τιμήεις τιμήεντος τιμῆς τιμῆντος, (Σ 475) καὶ χρυσὸν τιμῆντα καὶ ἄργυρον· τὰ δὲ μηδὲν ἐκ τούτων ἔχοντα, τουτέστι μήτε παρὰ τὸ κλέος ὄντα μήτε ἀπὸ συναιρέσεως τῶν εἰς -ηεις, εἰς τὴν ου δίφθογγον ἔχουσι τὴν γενικήν, οἷον Θαλῆς Θαλοῦ, Ἑρμῆς Ἑρμοῦ, Σωσῆς Σωσοῦ, Ναρσῆς Ναρσοῦ, Ἀπελλῆς Ἀπελλοῦ, Μωϋσῆς Μωϋσοῦ **1–3** εἰ…Σοφοκλῆς] Iohannis canon ita formatus parum rectus; fortasse post κλέος excidit κύρια: cf. Arc. 26.23 Τὰ παρὰ τὸ κλέος ἐπίθετα μὲν ὄντα ὀξύνεται· εὐκλεής … κύρια δὲ ὄντα ἐν μὲν τῇ ἐντελείᾳ βαρύνεται, ἐν δὲ τῇ συναιρέσει περισπᾶται· Ἡρακλέης Ἡρακλῆς. **3–5** καὶ…συνῃρημένα] regula Arcadii a declinatione aliena: 26.21 Τὰ εἰς ΗΣ κύρια ἀπὸ ἐντελεστέρου περισπᾶται· Ἑρμῆς Θαλῆς Πυλῆς Ποδῆς; 26.23 καὶ τὰ εἰς ΕΑΣ (scil. κύρια, ἐν μὲν τῇ ἐντελείᾳ βαρύνεται, ἐν δὲ τῇ συναιρέσει περισπᾶται)· Ἀρτεμέας Ἀρτεμῆς; similiter Hrd. ap. Eust. Od. II 311.11 (alibi) Ὅτι δὲ ὁ Ἑρμῆς ἀπὸ κράσεως ἔχει τὸ περισπᾶσθαι, δηλοῖ καὶ Ἡρωδιανὸς παραδοὺς ὅτι ὡς Ἀπελλέας Ἀπελλῆς, Θαλέας Θαλῆς ὁ Μιλήσιος, Ποδέας Ποδῆς ὁ παρ' Ὁμήρῳ, οὕτω καὶ Ἑρμέας Ἑρμῆς, Hrd. ap. sch. Λ 223a Κισσῆς: ⟨Κισσῆς⟩ ὡς «Ἑρμῆς» (Υ 72 al.)· καὶ μήποτε παρὰ τὸ κισσός παρώνυμόν τι ἐγένετο Κισσέας καὶ κατὰ συναλιφὴν Κισσῆς et sch. Λ 223b, Aristarchus ap. Eust. Il. IV 94.8 Τὸ δὲ «Ποδῆς» συνῄρηται ἐκ τοῦ Ποδέας Ποδῆς ὡς Κισσέας Κισσῆς, Ἑρμέας Ἑρμῆς κατὰ Ἀρίσταρχον, Eust. Il. III 182.12 **5–26,2** καὶ…φθογγήεις] Arcadii praeceptum a declinatione prorsus abhorret: 27.3 Τὰ εἰς ΗΣ ἀπὸ τῶν εἰς ΗΕΙΣ περισπῶνται· τιμῆς τεχνῆς δαφνῆς; de τιμῆς circumflexo utpote ex τιμήεις contracto vid. etiam sch. I 605c[1], sch. M 201d (cum locis similibus ibi indicatis); de synaeresi in τιμῆς sch. I 605c[2], sch. κ 38; de synaeresi et declinatione in τιμῆς et sim. vid.

2 κλέος] fortasse post κλέος addendum κύρια; cf. locos similes **4** Θαλῆς Θαλοῦ scripsi: θαλλῆς θαλλοῦ AV **5** Θαλέας scripsi: θαλλέας A: de V non constat

ται· *τιμῆς τιμῆντος*, *φθογγῆς φθογγῆντος*, ἃ καὶ αὐτὰ συνήρηται ἐκ τοῦ *τιμήεις*, *φθογγήεις*. τὰ δὲ παρὰ ταῦτα ὀξύνεται· *ψευδής*, *σαφής*, *ἀληθής*, καὶ τὰ λοιπά.

Choer. II 319.17; quaeritur utrum τιμῆς an τιμῆς scribendum sit: sch. I 605b (vid. et locos quos Erbse affert); de φθογγῆς aliisque in -γης desinentibus vid. et quam sequitur notam

1 φθογγῆς] canon legitur ap. Arc. 24.16 Τὰ εἰς ΓΗΣ δισύλλαβα βαρύνονται, χωρὶς εἰ μή τι ἐκ συνθέτου καταλελειμμένον εἴη, ἢ παρώνυμον ἐπιθετικόν. τότε γὰρ περισπᾶται, ὅτε συναλήλιπται, ἢ βραχείᾳ παραλήγοι, ἢ ἰσοσυλλάβως κλίνοιτο ... τὸ δὲ μογῆς καὶ δρογῆς ἰσοσυλλάβως κλινόμενα περισπᾶται. καὶ τὸ φθογγῆς ἐκ τοῦ φθογγήεις καὶ τὸ Αὐγῆς ἐκ τοῦ Αὐγέας **3** ψευδής…ἀληθής] canonem legimus ap. Arc. 26.12 Τὰ εἰς ΗΣ ἐπιθετικὰ δισύλλαβα εἰς ΟΥΣ τὴν γενικὴν ποιοῦντα καὶ μὴ παθόντα συγκοπὴν ὀξύνεται· ψευδής, πρηνής, ζαής, ἁλής. τὸ δὲ πλήρης βαρύνεται (πληήρης γάρ), ὡς ξιφήρης ὀλιγήρης

2–3 ὀξύνεται] ὀξ[ύ] A: ὀξύτονα V

36. Ἐν δὲ τοῖς εἰς -*υς* ⟨θηλυκοῖς⟩ περισπᾶται τὸ *ὀσφῦς*, τὸ *ὀφρῦς* καὶ ⟨ἐν⟩ ἀρσενικοῖς τὸ *ἰχθῦς* παραλόγως. *Διονῦς* καὶ *ἀπφῦς* ὑποκοριστικώτερα ὄντα καὶ αὐτὰ περιεσπάσθη.

1–3 Ἐν…περιεσπάσθη] canon de femininis Arc. 105.18 Τὰ εἰς ΥΣ θηλυκὰ ἐκτείνοντα τὸ Υ ὀξύνεται· πληθύς … σεσημείωται ἐν τοῖς θηλυκοῖς τὸ ὀφρῦς καὶ ἡ ὀσφῦς (ἡ ῥάχις) περισπώμενα (similia Ep. Hom. ε 161); canon de masculinis ibid. 104.21 Τὰ εἰς ΥΣ πολυσύλλαβα κύρια ἢ προσηγορικά, μὴ ἐθνικά, βαρύνεται· ἄλδυς Πόλτυς … τὸ ἰχθῦς προσηγορικὸν περιεσπάσθη ἀλόγως, ὥσπερ τὸ μῦς, σῦς; ibid. 105.23, ubi praeter Διονῦς et ἀπφῦς alia quaedam deminutiva e Catholica excerpta afferuntur Τὰ εἰς ΥΣ ὑποκοριστικὰ περισπῶνται· Καμμῦς Κλαυσῦς Λαρδῦς Διονῦς ἀπφῦς. τὸ δὲ ἰξῦς ποτὲ μὲν ὀξύνει ὁ Ἡρωδιανός, ποτὲ δὲ περισπᾷ; Hrd. Π. μον. λέξ. 936.25 Ἰχθῦς. οὐδὲν εἰς -υς λῆγον ἀρσενικὸν ὑπὲρ μίαν συλλαβήν, μὴ ἔχον ὑποκοριστικὴν ἔννοιαν, περισπᾶσθαι θέλει. σημειῶδες ἄρα ὁ ἰχθῦς. προσέθηκα δὲ «μὴ ὑποκοριστικὴν ἔννοιαν» διὰ τὸ ἀπφῦς· δοκεῖ γὰρ παρὰ τὸ ἀπφάς παρωνομάσθαι. ἔστι δὲ καὶ τὸ Διονῦς παρὰ τοῖς κωμικοῖς ἐπὶ τοῦ ἐκλύτου τασσόμενον, παρηγμένον ἀπὸ τοῦ Διονύσου … πρόσκειται δὲ τῷ κανόνι «ἀρσενικὸν» διὰ τὸ ὀφρῦς περισπώμενον θηλυκόν, ἔτι δὲ καὶ τὸ ὀσφῦς. ὥστε εἰ περισπᾶται τὸ ἰχθῦς, ἔστω θηλυκόν· εἰ δὲ ἀρσενικόν ἐστιν, ὀφείλει ὅμοιον εἶναι τῷ στάχυς, βότρυς; Choer. I 231.15 τὰ δὲ ὑπὲρ μίαν συλλαβὴν περισπώμενα, εἰ μὲν ὦσιν ὑποκοριστικά, ἀποβολῇ τοῦ -ς ποιοῦσι τὴν γενικήν, οἷον ὁ Καμμῦς τοῦ Καμμῦ, ὁ Διονῦς τοῦ Διονῦ, ὁ Κλαυσῦς τοῦ Κλαυσῦ, ὁ Λαρδῦς τοῦ Λαρδῦ, εἰ δὲ μὴ ὦσιν ὑποκοριστικά, διὰ καθαροῦ τοῦ -ος κλίνονται καὶ συστέλλουσι τὸ υ καὶ ἐν τῇ γενικῇ καὶ ἐν ταῖς ἑξῆς πτώσεσιν, οἷον ὀσφῦς ὀσφύος (σημαίνει δὲ τὴν ῥάχιν), ἰχθῦς ἰχθύος, ὀφρῦς ὀφρύος. Ἰστέον δὲ ὅτι πάντα τὰ εἰς -υς περισπώμενα ὑπὲρ μίαν συλλαβὴν ὄντα ὑποκοριστικά εἰσιν, οἷον ὁ Καμμῦς, ὁ Κλαυσῦς, ὁ Διονῦς, ὁ Λαρδῦς, χωρὶς τῶν τριῶν τούτων, φημὶ δὴ τοῦ ὀσφῦς ὀφρῦς ἰχθῦς (ὀσφῦς δέ ἐστιν, ὡς εἴρηται, ἡ ῥάχις)· τὸ γὰρ ἰξύς (σημαίνει δὲ καὶ αὐτὸ τὴν ῥάχιν), εἰ καὶ παρατέθειται ὁ Ἡρωδιανὸς ἐν τῷ Ὀνοματικῷ ὡς περισπώμενον, ἀλλ᾽ οὖν οὐ περισπᾶται ἀλλ᾽ ὀξύνεται, ὥς φησιν ἐν τῇ Καθόλου; Hrd. ap. Eust. Od. II 195.8; de ἰχθῦς vid. etiam § **52**

1 θηλυκοῖς addidi **2** ὀφρῦς A: ὀσφρῦς V | ἐν addidi

37. Ἐν δὲ τοῖς εἰς -ως περισπᾶται τὰ ὑποκείμενα· *λαγῶς, ὀρφῶς, ταλῶς*. τὸ *Μανεθῶς* καὶ *Τυφῶς* καὶ *ταῶς* καὶ περισπᾶται καὶ δικατάληκτά ἐστι· καὶ γὰρ ⟨καὶ⟩ εἰς -ν λήγει. πάντα

1–29,2 Ἐν…συνήρηται] cf. Arc. 107.16 Τὰ εἰς ΩΣ Ἀττικὰ ὁμοτονοῦσιν ἐκείνοις, ἀφ' ὧν ἐσχηματίσθησαν· ναός νεώς, λαός λεώς, ἀξιόχρεος ἀξιόχρεως. τὸ δὲ λαγῶς καὶ ὀρφῶς περισπῶνται, καὶ..... ('τὸ τυφῶς καὶ ταῶς exciderunt, cf. Choerob. 261.9' Schmidt ad 107.19, Choerob. 261.9=Choer. I 253.23) ὁ τυφῶν καὶ ταῶν; Choer. I 253.1 Τούτων οὕτως ἐχόντων ἰστέον, ὅτι ταῦτα τὰ εἰς -ως Ἀττικὰ φυλάττουσι τῆς κοινῆς εὐθείας τὸν τόνον … Σεσημείωται τὸ ὀρφῶς καὶ λαγῶς περισπώμενα, ταῦτα γὰρ οὐκ ἐφύλαξαν τὸν τόνον τῶν κοινῶν· τοῦ μὲν γὰρ ὀρφῶς τὸ κοινὸν ὄρφος ἐστὶ βαρυτόνως, τοῦ δὲ λαγῶς ὀξυτόνως λαγός… Ἰστέον δὲ ὅτι τὰ εἰς -ως Ἀττικὰ ἀποβολῇ τοῦ -ς ποιοῦσι τὴν γενικήν, οἷον ὁ Μενέλεως τοῦ Μενέλεω … ὁ Τυφῶς καὶ ὁ ταῶς κοινῶς μὲν Τυφῶν καὶ ταῶν λέγονται καὶ διὰ τοῦ -νος κλίνονται, οἷον Τυφῶνος καὶ ταῶνος, Ἀττικῶς δὲ Τυφῶς καὶ ταῶς λέγονται καὶ ἀποβολῇ τοῦ -ς ποιοῦσι τὴν γενικὴν τῷ Ἀττικῷ ἔθει, οἷον ὁ Τυφῶς τοῦ Τυφῶ καὶ ὁ ταῶς τοῦ ταῶ, ὥσπερ ὁ ὀρφῶς τοῦ ὀρφῶ καὶ ὁ λαγῶς τοῦ λαγῶ· Τυφῶς δέ ἐστιν ὁ σφοδρὸς ἄνεμος. Καὶ ἀποροῦσί τινες λέγοντες, διατί τὸ Τυφῶς καὶ ταῶς οὐ κλίνονται κοινῶς διὰ τοῦ -τος, ὥσπερ τὸ ἱδρώς ἱδρῶτος καὶ ἀπτώς ἀπτῶτος. Ἔστιν οὖν εἰπεῖν, ὅτι πρῶτον μὲν ἐκεῖνα ὀξύτονά εἰσιν, τὸ δὲ Τυφῶς καὶ ταῶς περισπώμενά εἰσι· δεύτερον δὲ ὅτι ταῦτα καὶ εἰς -ν λήγουσι, οἷον Τυφῶς Τυφῶν, ταῶς ταῶν, ὅπερ οὐ παρέπεται ἐκείνοις; ex Choer. l.c. pendet Et. Gen. (AB) s.v. ὀρφῶς (fort. A: ὄρφως B), unde EM 635.32 (usque ad 635.39 ὀξύτονος); de dicatalectis in -ῶς et -ῶν vid. etiam Hrd. ap. Eust. Il. I 542.7 seqq. **1–2** λαγῶς ὀρφῶς] praeter locos supra laudatos cf. sch. Ar. V. 493c τὸ ὀρφῶς καὶ λαγῶς περισπῶσιν Ἀττικοί; Hrd. ap. EM 635.39 καὶ Ἡρωδιανὸς φησὶν, ὅτι ἐν τοῖς εἰς ΩΣ ὑπὲρ μίαν συλλαβὴν οὐδὲν περισπᾶται, πλὴν τοῦ ὀρφῶς καὶ λαγῶς; cf. etiam Theogn. 97.22 (can. 572) Τὰ εἰς -ως, εἴτε ὀνόματα εἴτε μετοχαί, εἴτε ὀξύτονα εἴτε βαρύτονα εἴτε περισπώμενα, κατὰ ἀποβολὴν τοῦ -ς ποιοῦντα τὴν γενικὴν ἢ διὰ καθαροῦ τοῦ -ος ἢ διὰ τοῦ -τος, τὴν εὐθεῖαν ἔχει διὰ τοῦ -ω- μεγάλου ἐπὶ παντὸς γένους, οἷον ὀρφῶς ὀρφῶ (scripsi: ὀρφὼς ὀρφὼ cod.), ταῶς (scripsi: ταὼς cod.) ταῶ, Τρώς Τρωός… **2** Μανεθῶς] de Μανεθῶς aliisque nominibus propriis peregrinis hypermonosyllabis in -ως desinentibus vid. Choer. I 254.2 Εἰσὶ δὲ καὶ Περσικὰ ὀνόματα καὶ Αἰγύπτια εἰς -ως λήγοντα, ἅτινα τὴν αὐτὴν κλίσιν ἐπιδέχονται τοῖς εἰς -ως Ἀττικοῖς· οὐ μέντοι προπαροξύνονται κατὰ τὴν εὐθεῖαν, ὥσπερ οὐδὲ ἐν ταῖς ἄλλαις πτώσεσιν· ἔστι γὰρ Ἰναρῶς (ὄνομα βασιλέως) Σπαραμιζῶς (ὄνομα εὐνούχου) Σαβακῶς Μανεθῶς (ταῦτα δὲ ὀνόματά εἰσι κύρια)· καὶ ἰστέον ὅτι τινὲς μὲν ὀξύνουσιν αὐτά, τινὲς δὲ περισπῶσιν

2 ταλῶς retinui coll. Hesych. τ 87 ταλῶς· ὁ ἥλιος **3** καί[3] addidi | -ν V: νη A λήγει V: λ^ή A

δὲ τὰ εἰς -ως περισπασθέντα ἄνευ λόγου περιεσπάσθη. τὸ δὲ *Τηλεβῶς* ἐκ τοῦ *Τηλεβόας* συνῄρηται.

38. Οὐδὲν θηλυκὸν ἀσυναίρετον ⟨εἰς -α ἢ εἰς -η λῆγον⟩ ἢ οὐδέτερον ὑπὲρ μίαν συλλαβὴν περισπᾶται, ἀλλὰ τὰ περισπασθέντα ἐκ
5 συναιρέσεως ἔσχε τὴν περισπωμένην, ὡς τὸ *ἀργυρέα ἀργυρᾶ*, *Ἀθηνάα* τε καὶ *Ἀθηνᾶ* καὶ *χαλκέα* τε καὶ *χαλκῆ*, *φακέα*

3–30,3 Οὐδὲν…ὅμοιον] cf. Hrd. Π. μον. λέξ. 911.10 Γῆ. τὰ εἰς -η λήγοντα θηλυκὰ ὀνόματα ἐπ' εὐθείας περισπώμενα κατὰ τὴν συνήθειαν καὶ τὴν τῶν παλαιῶν χρῆσιν ἀεὶ θέλει ὑπὲρ μίαν συλλαβὴν εἶναι ἔχειν τε καὶ ἐντελέστερα προϋποκείμενα. συκέα συκῆ, λεοντέα λεοντῆ, φακέα φακῆ Ἐπίχαρμος (fr. 30 K.–A.) «χύτρα δὲ φακέας ἥψετο», τραγῆ, γαλῆ, μυγαλῆ, ἀμυγδαλῆ Εὔπολις Βάπταις (fr. 79 K.–A.) «ἀλλ' ἐξολεῖς με ναὶ μὰ τὴν ἀμυγδαλῆν», κωλῆ Ἀμειψίας Κόννῳ (fr. 7 K.–A.) «ἐντευθενὶ δίδοται μάλισθ' ἱερώσυνα, / κωλῆ, τὸ πλευρόν, ἡμίκραιρ' ἀριστερά». σησαμῆ Ἀριστοφάνης (Pac. 857) «πλακοῦς πέπεπται, σησαμῆ συμπλάττεται». χαιρέτω ἄρα ἡ γῆ μονοσύλλαβος οὖσα καὶ συνήθης τῇ νῦν χρήσει καὶ τῇ τῶν παλαιῶν πάντων… **5** ἀργυρέα ἀργυρᾶ] de his similibusque (sicut χαλκέα χαλκῆ) praeceptum praebet Arc. 109.1 Τὰ εἰς Α μακρὸν καὶ εἰς Η τῶν εἰς ΟΥΣ περισπωμένων περισπᾶται· ἀργυροῦς ἀργυρᾶ, χρυσοῦς χρυσῆ, διπλοῦς διπλῆ **6** Ἀθηνάα…Ἀθηνᾶ] cf. Hrd. ap. Ep. Hom. α 93, l. 89 sqq. ἔστιν Ἀθηναία καὶ ὥσπερ Ναυσικάα κατὰ κρᾶσιν τῶν δύο αα εἰς α μακρὸν γίνεται Ναυσικᾶ, οὕτως καὶ ἀπὸ τοῦ Ἀθηναία ἀποβολῇ τοῦ ι γίνεται Ἀθηνάα καὶ κράσει τῶν δύο αα εἰς α μακρὸν γίνεται Ἀθηνᾶ, ἐξ οὗ καὶ περισπᾶται· πᾶσα γὰρ συναίρεσις; Hrd. Π. μον. λέξ. 912.23 Ἀθηνᾶ. οὐδὲν εἰς -να λῆγον ὑπὲρ μίαν συλλαβὴν θηλυκὸν περισπᾶται, ἀλλὰ μόνον τὸ Ἀθηνᾶ οὕτως ἔσθ' ὅτε ὑπὸ τῶν Ἀττικῶν λεγόμενον καὶ ὑπὸ τῆς συνήθους λέξεως … προσέθηκα δὲ ὑπὲρ μίαν συλλαβήν, ἵνα ἐκφύγωμεν τὸ σύνηθες μνᾶ Ἀττικοῖς τε καὶ τῇ νῦν χρήσει καὶ ⟨τὸ⟩ ἀπεξενωμένον {τὸ} Χνᾶ; Arc. 115.4 … κατὰ διάλεκτον ἢ πάθος ἐγένετο, ὡς τὸ Ἑλένα Ἑλένη, Ἀθηνάα Ἀθηνᾶ; canonem affert Arc. 110.12 Τὰ εἰς ΝΑ μονογενῆ βαρύνεται· Κύννα (ἡ πόρνη) Ἄννα γέννα χλαῖνα, εἰ μὴ κατὰ πάθος γένοιτο, Ἀθηνᾶ Δανᾶ (Schmidtii coniecturam recepi: μηνᾶ BC) **6–30,3** φακέα…ὅμοιον] canon legitur ap. Arc. 117.17 Τὰ εἰς Η συναληλιμμένα περισπᾶται· λεοντέα λεοντῆ, συκέα συκῆ, γαλέα γαλῆ, ἀμυγδαλέα ἀμυγδαλῆ; 122.7 (φακῆ); 124.1 (γαλῆ); 124.19 (ἀμυγδαλῆ); 126.13 (σησαμῆ); 128.15 (ἐχινῆ); Theogn. 108.9 (can. 646, in cod. can. 647) addidit βοῆ (de quo vid. DGE s.v.

2 Τηλεβόας Ludwich in Corrigendis ad Lentz 245.10 (tom. II, p. 1235 Lentz): τηλεβέος AV **3** Οὐδὲν scripsi: οὐδὲ AV | εἰς[1]…λῆγον addidi; de nominibus femininis non contractis perispomenis cf. e.g. ὀσφῦς et ὀφρῦς supra § **36** **6** Ἀθηνάα…Ἀθηνᾶ sic textum refinxi coll. Hrd. ap. Ep. Hom. α 93, l. 89 sqq. et Arc. 115.5: Ἀθηνᾶ τε καὶ μνᾶ AV (de μνᾶ vid. § **30**); etiam temptavi Ἀθηνᾶ τε καὶ Δανᾶ duce Schmidtio ad Arc. 110.14

φακῆ. τοιοῦτόν ἐστι καὶ τὸ *σησαμῆ* καὶ *ἀμυγδαλῆ*, ἐπὶ τοῦ δένδρου, *γαλῆ*, *κωλῆ*, *συκῆ*, *παρδαλῆ*, *μυγαλῆ*, *κυνῆ* καὶ εἴ τι ὅμοιον.

39. Καὶ ἐπὶ τῶν οὐδετέρων πάλιν *κάνεον κανοῦν*, *ἀργύρεον ἀργυροῦν*, ἅπερ ὅσον ἐπὶ τῷ λόγῳ τῆς συναιρέσεως ἔδει βαρύνεσθαι, ἀλλ', ὡς ἔφθημεν εἰπόντες, τῷ χαρακτῆρι περιεσπάσθη. πᾶν γὰρ ὄνομα εἰς *-ους* ἁπλοῦν περισπᾶται· *ἁπλοῦς*, *διπλοῦς*, σεσημειωμένων τοῦ *πούς* καὶ *ὀδούς*.

40. Αἱ μὲν οὖν περισπώμεναι τῶν εὐθειῶν αὗταί εἰσιν, αἱ δὲ λοιπαὶ τῶν ἐπὶ τέλους ἐχουσῶν τὸν τόνον ὀξύνονται.

βόειος; forma nominativi contracti βοῆ lexico LSJ s.v. βόειος II addenda), κυνῆ, τραγῆ, νοῆ(?); Eust. Od. I 266.37
4 κάνεον] de accentu vid. quae praecipit Arc. 136.18 Τὰ εἰς ΛΕΟΝ ὀξύνεται· Χαλεόν ἐλεόν... εἰ δὲ μὴ ἔχουσι τὸ Λ ⟨πρὸ τοῦ⟩ (addidi coll. et Hrd. Π. μον. λέξ. 943.10) Ε, προπαροξύνονται· ὄστρεον ὄρνεον δένδρεον; etiam Hrd. Π. μον. λέξ. 943.10 Ὀστέον. οὐδὲν εἰς -ον λῆγον καθαρὸν οὐδέτερον μονογενὲς ὑπὲρ δύο συλλαβὰς τῷ -ε- παρεδρευόμενον παροξύνεται, ἀλλὰ μόνον τὸ ὀστέον... τὰ δὲ τοιαῦτα ἤτοι ὀξύνεται, ὡς ἔχει τὸ κολεόν, στελεόν, ἐλεόν «βάλλον δ' εἰν ἐλεοῖσιν» (ξ 432) ... ἢ προπαροξύνεται, ὁπότε μὴ τὸ -λ- πρὸ τοῦ -ε- ἐστίν, ὄρνεον, κάνεον, ὄστρεον. δῆλον οὖν ὡς καὶ ὄστεον ἐχρῆν λέγειν. διὸ μονῆρες κατὰ τὸν τόνον φαμὲν εἶναι αὐτό. οὐκ ἀγνοῶ δὲ ὡς καὶ ὀστοῦν λέγεται, ὡς καὶ παρὰ Κρατίνῳ ἐν Πυτίνῃ (fr. 204 K.–A.) «ἀλλ' οὐδὲ λάχανον οὐδὲν οὐδ' ὀστοῦν ἔτι / ὁρῶ». τοῦτον τὸν τρόπον καὶ τὸ κάνεον κανοῦν **6–8** πᾶν…ὀδούς] vid. ad § **22** **7** ὄνομα… -ους] quid adiectivo masculino commune sit cum adiectivo neutro in rebus prosodiacis discas ex Arc. 133.22 Πᾶν οὐδέτερον ὄνομα ὑπὲρ μίαν συλλαβὴν παρεσχηματισμένον ἀρσενικῷ ὁμοτονεῖ τῷ ἀρσενικῷ· φίλος φίλον ... χρυσοῦς χρυσοῦν et ibid. 134.11 Τὰ εἰς ΟΥΣ λήγοντα τῶν ὀνομάτων ἔχοντα οὐδετέρου παρασχηματισμὸν ὁμοτονοῦσιν· χρυσοῦς χρυσοῦν, χαλκοῦς χαλκοῦν, εὔνους εὔνουν | ἁπλοῦν] cf. εὔνουν compositum

1 τὸ V: om. A **2** μυγαλῆ Dindorf coll. Hrd. Π. μον. λέξ. 911.15: μεγαλῆ AV
8 τοῦ Dindorf: τὸ AV

41. Πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐπὶ τέλους ἔχουσα τὸν τόνον περισπᾶται, ἑνική τε καὶ δυϊκὴ καὶ πληθυντική· *καλοῦ*, *καλῷ*, *καλοῖν*, *καλῶν*, *καλοῖς*, τοῦ *Φιλιτᾶ*, τῷ *Φιλιτᾷ*, τοῖν *Φιλιταῖν*, τῶν *Φιλιτῶν*, τοῖς *Φιλιταῖς*, τῆς
5 *καλῆς*, τῇ *καλῇ*, ταῖν *καλαῖν*, τῶν *καλῶν*, ταῖς *καλαῖς*, *ἐμοῦ*, *ἐμῷ*, *ἐμοῖν*, *ἐμῶν*, *ἐμοῖς*. σεσημείωται ἐν ἀντωνυμίαις ἡ

1–32,9 Πᾶσα … ὁμοίως] Herodianus de accentu casuum obliquorum in libro XV Catholicae disseruerat, cf. Arc. 4.4; Choer. I 370.24 κανών ἐστιν ὁ λέγων, ὅτι πᾶσα γενικὴ καὶ δοτικὴ μακροκαταληκτοῦσα ἐπ' ὀνομάτων, ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον, περισπωμένην δέχεται, χωρὶς εἰ μὴ ἀπὸ ὀξυτονουμένης εὐθείας γένηται ἡ γενικὴ κατὰ ἀποβολὴν τοῦ -ς· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, σοφοῦ σοφῷ σοφοῖν σοφῶν σοφοῖς, καλοῦ καλῷ καλοῖν καλῶν καλοῖς, τιμῆς τιμῇ τιμαῖν τιμῶν τιμαῖς, φοβερᾶς φοβερᾷ φοβεραῖν φοβερῶν φοβεραῖς, Σαπφοῦς Σαπφοῖ Σαπφοῖν Σαπφῶν Σαπφοῖς, πτεροῦ πτερῷ πτεροῖν πτερῶν πτεροῖς· οὕτως οὖν καὶ ⟨ἡ⟩ ἰᾶς καὶ μιᾶς γενικὴ καὶ ⟨ἡ⟩ ἰᾷ καὶ μιᾷ δοτικὴ περισπῶνται καὶ οὐκ ὀξύνονται. Πρόσκειται ἐν τῷ κανόνι «μακροκαταληκτοῦσα» διὰ τὸ μηνός μηνί, χηνός χηνί, φωτός φωτί· ταῦτα γὰρ οὐ περισπῶνται, ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ εἰσὶ μακροκατάληκτα ἀλλὰ βραχυκατάληκτα· πρόσκειται «ἐπ' ὀνομάτων» διὰ τὴν ἐμοί καὶ σοί ἀντωνυμίας· αὗται γὰρ οὐ περισπῶνται ἀλλ' ὀξύνονται· πρόσκειται «ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον» διὰ τὸ Ὁμήρου Ὁμήρῳ, ἀνθρώπου ἀνθρώπῳ· ταῦτα γὰρ μακροκατάληκτά εἰσι καὶ ὅμως οὐ περισπῶνται, ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ ἔχουσιν ἐπὶ τῆς τελευταίας συλλαβῆς τὸν τόνον· πρόσκειται ἐν τῷ κανόνι «χωρὶς εἰ μὴ ἀπὸ ὀξυτονουμένης εὐθείας γένηται ἡ γενικὴ κατὰ ἀποβολὴν τοῦ -ς», ἐπειδὴ ἐὰν ἀπὸ ὀξυτονουμένης εὐθείας γένηται ἡ γενικὴ κατὰ ἀποβολὴν τοῦ -ς, τότε καὶ ἡ γενικὴ καὶ ἡ δοτικὴ ὀξύνονται ὁμοίως τῇ εὐθείᾳ, οἷον ὁ νεώς τοῦ νεώ τῷ νεῴ, ὁ λεώς τοῦ λεώ τῷ λεῴ, ὁ ζώς τοῦ ζώ τῷ ζῴ; de dativo singulari Ap. Dysc. pron. 11.10 οὐδεμία δοτικὴ μακροκατάληκτος ὀξύνεται· πῶς οὖν ἡ ἐμοί καὶ ἡ σοί;—ἀλλ' οὐδ' ὅλως δοτικὴ μονοσύλλαβος ὀξύνεται, πᾶσαι δὲ περισπῶνται, μνᾷ, γῇ· πῶς οὖν ἡ σοί; vid. et ibid. 87.24, paulo inferius **6–32,1** σεσημείωται … περισπᾶται] praeter locos supra laudatos cf. Ap. Dysc. pron. 80.24 Αἱ κατὰ ⟨τὸ⟩ πρῶτον καὶ δεύτερον πρόσωπον τῆς δοτικῆς ὀξυνόμεναι τὴν κατὰ τὸ τρίτον περισπωμένην ἔχουσι· «σοὶ μὲν γὰρ ἐγώ, σὺ δ' ἐμοί» (Δ 63)· ἐπὶ δὲ τοῦ «ἢ ὀλίγον οἷ παῖδα» (Ε 800) περισπῶμεν; vid. etiam Hrd. (?) ap. sch. **I** 392a … περισπασθήσεται οὖν (scil. οἷ). δείκνυται δὲ ἐν τοῖς Περὶ ἀντωνυμιῶν (fr. 2 = Hrd., Lentz II 845.6) ὡς ὅτι ἡ ἐμοί ἐπὶ δοτικῆς καὶ ἔτι ἡ σοί ὀξύνονται, ἡ δὲ οἷ περιεσπάσθη ἀνακολούθως et ea quae Erbse ad loc. annotat; Choer. I 376.1 (ἐμοί, σοί, οἷ)

1 ante Πᾶσα γενική tit. περὶ γενικῆς praebet V | Πᾶσα A: *ᾶσα V, lit. π a rubr. omissa | ἐπὶ τέλους scripsi: ἐφ' ἑαυτῆς V: ἐφ' αὑτῆς A **3** Φιλιτᾶ , -λι- sic AV: Φιλητᾶ, -λη-, Dindorf **6** σεσημείωται V: σεσ^{η} A

ἐμοί καὶ *σοί* δοτικαὶ ὀξυνόμεναι· ἡ γὰρ τοῦ τρίτου, *οἶ*, περισπᾶται. ὑποκείσθω δὲ καὶ τὰ Ἀττικά – τοῦ *νεώ*, τοῦ *λεώ* – ὀξυνόμενα. τὸν τόνον γὰρ τῆς κοινῆς εὐθείας φυλάττουσιν ἐν πάσῃ πτώσει. τοῦ γὰρ *Μενέλαος* προπαροξυνομένου, καὶ τὸ Ἀττικὸν κατὰ πᾶσαν πτῶσιν προπαροξύνεται· ὁ *Μενέλεως*, τοῦ *Μενέλεω*, τῷ *Μενέλεῳ*, τὸν 5 *Μενέλεων* καὶ ἐν ταῖς ἄλλαις πτώσεσι καὶ ἀριθμοῖς ὁμοίως. οὕτως οὖν καὶ τοῦ *λαός* καὶ τοῦ *ναός* ὀξυνομένων, καὶ τὰ ἀπὸ τούτων Ἀττικὰ ὀξυνθήσεται· ὁ *νεώς*, τοῦ *νεώ* καὶ ἐπὶ δυϊκοῖς καὶ πληθυντικοῖς ὁμοίως.

42. Πᾶσα γενικὴ εἰς *-ου* λήγουσα ἀπὸ μὲν ὀξυτόνων ὀνομάτων 10 καὶ περισπωμένων περισπᾶται· *καλός καλοῦ*, *σοφός σοφοῦ*, *ἀργυροῦς ἀργυροῦ*, *Ἑρμῆς Ἑρμοῦ*. ἀπὸ δὲ βαρυτόνων πρὸ μιᾶς ἔχει τὸν τόνον· *Ὅμηρος Ὁμήρου*, *νῆσος νήσου*.

2–9 ὑποκείσθω…ὁμοίως] vid. § **14**; cf. praeter locum Choerobosci ad Πᾶσα…ὁμοίως laudatum vid. etiam Ap. Dysc. pron. 87.24 ἄλλως τε τὰ εἰς -ω λήγοντα πτωτικά, κλίσεως τυγχάνοντα, οὔποτε περισπασμὸν ἀνεδέξατο. τούτῳ γὰρ τῷ λόγῳ καὶ ἡ νεώ γενικὴ ὠξυτονήθη, μετὰ καὶ ἄλλων λόγων τῆς γενικῆς τὸν περισπασμὸν ἀπαιτούσης **10–13** Πᾶσα…νήσου] cf. § **73**; latiore ratione accentum genetivi singularis aggressus est Theod. I 36.16 Πᾶσα γενικὴ ὀνόματος κοινὴ ἀπαθὴς ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ εὐθεῖα, εἰ μή πω τις ἕτερος λόγος κωλύοι… τὸ Ὅμηρος Ὁμήρου κατήγαγε τὸν τόνον, ἐπεὶ οὐδ' ἐνδέχεται φύσει μακρᾶς οὔσης ἐπὶ τέλους προπαροξυνθῆναι λέξιν; Choer. I 362.10 Κανονίζει οὖν ὁ τεχνικὸς τὸν τόνον τῆς γενικῆς λέγων, ὅτι πᾶσα γενικὴ ὀνόματος κοινὴ ἀπαθὴς ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς ἂν καὶ ἡ εὐθεῖα, χωρὶς εἰ μή που ἕτερος λόγος κωλύσῃ…Ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταύτα· … πάλιν φίλος φίλου, ξένος ξένου· ἰδοὺ ταῦτα ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν· πάλιν καλός καλοῦ, σοφός σοφοῦ, ἀγαθός ἀγαθοῦ· ἰδοὺ ταῦτα ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν, εἰ καὶ μὴ τὸν αὐτόν, ἡ μὲν γὰρ εὐθεῖα ὀξύνεται, ἡ δὲ γενικὴ περισπᾶται; etiam ibid. 363.10, 364.1

7 ναός V (coni. Dindorf): νεὸς A **8** δυϊκοῖς V: δυϊκῇ A **8–9** πληθυντικοῖς V: πλη^{θ} A **10** Πᾶσα A: *ᾶσα V, lit. π a rubr. neglecta

43. Πᾶσα γενικὴ δισύλλαβος εἰς -*ος* λήγουσα μὴ συναληλιμμένη ὀξύνεται· *μηνός*, *χηνός*, *Ζηνός*, *φωτός*. ἡ (1) *λᾶος* ἐκ τρισυλλάβου τῆς *λάαος*, ἡ (2) *κῆρος* καὶ (3) *ἦρος* ἐκ τῆς *κέαρος* καὶ *ἔαρος*. ἡ (4) *Θῶνος* (*παράκοιτις*) (δ 228) σεσημείωται· εἰ γὰρ ἐκ
5 τῆς *Θώνιος* (*ἐν ψαμάθοις*) (Nic. Th. 312) συνεκόπη, κἂν ὠξύνετο, ὡς ἡ *πατρός*, *μητρός*· ἀλλ' οὐδὲ συνήρηται ἐκ τῆς *Θόωνος*, ὥς τινες· ἀμάρτυρον γάρ. ἡ (5) *Ὦπος* (*θυγάτηρ*) (α 429) πρὸς ἀντιδιαστολὴν τοῦ ὀφθαλμοῦ. ἡ (6) *υἷος* (*ἑοῖο*) (Ν 522, Ξ 9, Σ 138) ἐκ τρισυλλάβου τῆς *ὕϊος* προπαροξυτόνου, ἧς ἡ εὐθεῖα *ὕϊς*.
10 ἡ (7) *τίνος*, ὅτε πυσματικῶς λέγεται, βαρύνεται πρὸς ἀντιδιαστολὴν τῆς ἀορίστου ὀξυνομένης. ἐπὶ μέντοι (8) μετοχῶν βαρύνεται· *στάντος*, *θέντος*, *δόντος*.

1–12 Πᾶσα…δόντος] cf. Theod. I 36.16 Πᾶσα γενικὴ ὀνόματος κοινὴ ἀπαθὴς ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ εὐθεῖα, εἰ μή πω τις ἕτερος λόγος κωλύοι· ὑπεξηρήσθωσαν δὲ αἱ εἰς -ος δισύλλαβοι γενικαί ... Αἱ μέντοι εἰς -ος δισύλλαβοι γενικαὶ ὀξύνεσθαι θέλουσιν, χηνός γραός φωτός· ἡ (1) λᾶος ἐκ τρισυλλάβου τῆς λάαος· ἡ (6) υἷος ἐκ τῆς ὕϊος· ἡ (2) κῆρος καὶ (3) ἦρος ἐκ τῆς κέαρος καὶ ἔαρος· ἡ (4) Θῶνος ἐκ τῆς Θώνιος ἢ Θόωνος· ἡ (5) Ὦπος πρὸς ἀντιδιαστολὴν τοῦ ὀφθαλμοῦ· ἡ (7) τίνος πρὸς διάφορον σημασίαν καὶ ὀξύνεται καὶ βαρύνεται. Ἐπὶ μέντοι (8) μετοχῶν καὶ αἱ εἰς -ος δισύλλαβοι γενικαὶ βαρύνονται, βάντος στάντος φθάντος; Choer. I 371.11; praeterea, de (1) λᾶος vid. Hrd. ap. sch. **Μ** 462a cum testim., praesertim sch. Soph. OC 195; de (4) Θῶνος, sch. δ 228 f1, f2 cum testim.; de (6) υἷος, Hrd. ap. sch. **Ε** 266a[1] cum testim.

1 Πᾶσα A: *ᾶσα V, lit. π a rubr. omissa | συναληλιμμένη A^p.c.^: συναλιλιμμένη A^a.c.^: συναλιλημμένη V **6** ὠξύνετο A: ὀξύνετο V **7** Θόωνος Lentz 409.21: Θέωνος AV | ἀμάρτυρον Dindorf quasi ex A: ἁμάρτυρον AV | γάρ V: om. A θυγάτηρ V: θηγάτηρ A **8** ἡ scripsi (scil. ἡ γενικὴ υἷος): τοῦ AV: τὸ Lentz 409.17 | υἷος A: υἱέος V et A in marg. | υἷος ἑοῖο] ad **Ο** 138 rettulit Lentz 409.18 **9** τῆς scripsi: τοῦ AV | ὕϊος] υἵϊος Lentz 409.18, sed cf. Lentz II 223.26 | ἧς scripsi: οὗ AV | εὐθεῖα A: εὐθεία V | ὕϊς A: ὑΐς V **11** τῆς…ὀξυνομένης scripsi: τοῦ ... ὀξυνομένου AV | βαρύνεται Lentz 410.18: βαρύνονται AV

44. Αἱ ὑπὲρ δύο συλλαβὰς εἰς *-ος* ἀπὸ μὲν βαρυτόνων εὐθειῶν

1–35,11 Αἱ…*δαέρος*] generalius loquitur Theod. I 36.16 Πᾶσα γενικὴ ὀνόματος κοινὴ ἀπαθὴς ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ εὐθεῖα, εἰ μή πω τις ἕτερος λόγος κωλύοι… οἷον Αἴας ἐπὶ τῆς πρώτης συλλαβῆς ἔχει τὸν τόνον καὶ ἡ Αἴαντος, χάριτος ἔρωτος, ἀνήρ ἀνέρος, ταχύς ταχέος, Ἀχιλλεύς Ἀχιλλέος, εὐγενής ἐπὶ τῆς τρίτης, ἀλλὰ καὶ εὐγενέος, κρέας κρέατος. Τὰ μέντοι προπαροξυνόμενα ὅτε περισσοσυλλάβως κλίνεται ἀναγκαίως κατέρχεται μίαν συλλαβὴν ὁ τόνος· οὐκ ἔστι γὰρ τάσις πρὸ τριῶν συλλαβῶν, οἷον φίλημα φιλήματος, Ἄδωνις Ἀδώνιδος… Σεσημειώσθω τοίνυν τὸ μητέρος καὶ θυγατέρος οὐ φυλάξαντα τὸν τόνον· ἴσως δὲ συναπηνέχθη τῇ πατέρος ἀνέρος· ἡμάρτηται δὲ καὶ τὸ γυναικός καὶ τὸ θυγατρός; quae omnia explicuit Choer. I 362.10—368.5; propius ad Herodianum accedit Choer. in I 368.6 Ἐπειδὴ δὲ εἰρήκαμεν, ὅτι πᾶσα γενικὴ εἰς -ος λήγουσα ὑπὲρ δύο συλλαβὰς ἀπέστραπται τὴν ὀξεῖαν τάσιν, δεῖ γινώσκειν, ὅτι πᾶσα γενικὴ εἰς -ος λήγουσα ὑπὲρ δύο συλλαβάς—ὑπεσταλμένης δηλονότι τῆς γυναικός καὶ θυγατρός γενικῆς ὀξυνομένης παραλόγως—ἢ παροξύνεται ἢ προπαροξύνεται ἢ προπερισπᾶται. Προπαροξύνονται μὲν οὖν αἱ εἰς -ος λήγουσαι γενικαί, ὑπὲρ δύο συλλαβὰς δηλονότι οὖσαι, ὅσαι εἰσὶν ἀπὸ παροξυνομένων εὐθειῶν ἢ προπαροξυνομένων ἢ προπερισπωμένων· ἀπὸ παροξυνομένων μὲν εὐθειῶν, οἷον Αἴας Αἴαντος, Θόας Θόαντος, πένης πένητος, Δάρης Δάρητος, Πάρις Πάριδος, Θέτις Θέτιδος, Δημήτηρ Δημήτερος, εἰνάτηρ εἰνάτερος (σημαίνει δὲ τὴν σύννυμφον, (Z 378) καὶ εἰνατέρων ἐυπέπλων)· ἐχρῆν οὖν καὶ παρὰ τὸ μήτηρ καὶ θυγάτηρ παροξύτονον μήτερος καὶ θυγάτερος εἶναι κατὰ τὴν γενικὴν προπαροξυτόνως· ἀλλ', ὡς εἴρηται, παρωξύνθησαν ὁμοίως τοῖς ἰδίοις συγγενικοῖς, οἷον μητέρος καὶ θυγατέρος, ὥσπερ πατέρος ἀνέρος καὶ δαέρος· ἀπὸ προπαροξυνομένων δέ, οἷον Ἄδωνις Ἀδώνιδος, φίλημα φιλήματος, νόημα νοήματος, Ἄρτεμις Ἀρτέμιδος, Ἄθηνις Ἀθήνιδος, Θέογνις Θεόγνιδος· ἀπὸ προπερισπωμένων δέ, οἷον μνῆμα μνήματος, βῆμα βήματος, αἷμα αἵματος, κῦμα κύματος, σῶμα σώματος, νεᾶνις νεάνιδος, θοῦρις θούριδος, οἷον (e.g. Ο 250) θούριδος ἀλκῆς. Παροξύνονται δὲ αἱ εἰς -ος λήγουσαι γενικαί, δηλονότι ὑπὲρ δύο συλλαβὰς ὑπάρχουσαι, ὅσαι εἰσὶν ἀπὸ ὀξυνομένων εὐθειῶν καὶ βραχείᾳ παραλήγονται, οἷον ταχύς ταχέος, βραδύς βραδέος, ἡδύς ἡδέος,Ἀχιλλεύς Ἀχιλλέος, Πηλεύς Πηλέος, ἀστήρ ἀστέρος, αἰθήρ αἰθέρος, ἀήρ ἀέρος, ἀσπίς ἀσπίδος, εὐσεβής εὐσεβέος, εὐγενής εὐγενέος, ποιμήν ποιμένος, ὀδούς ὀδόντος· θέσει γὰρ μακρὰ ἡ παραλήγουσα καὶ οὐ φύσει, καὶ λοιπὸν βραχεῖαν μιμεῖται. Προπερισπῶνται δὲ ὅσαι φύσει μακρᾷ παραλήγονται, οὖσαι ἀπὸ ὀξυτόνων εὐθειῶν ἢ περισπωμένων, ἀπὸ μὲν ὀξυτόνων, οἷον χειμών χειμῶνος, αἰών αἰῶνος, ἀγών ἀγῶνος, σωλήν σωλῆνος, δοθιήν δοθιῆνος, στατήρ στατῆρος, καμπτήρ καμπτῆρος, ἡμιθνής ἡμιθνῆτος, νεοδμής νεοδμῆτος, ψηφίς ψηφῖδος, κρηπίς κρηπῖδος, ἰχώρ ἰχῶρος· ἀπὸ περισπωμένων δέ, οἷον Ξενοφῶν Ξενοφῶντος, Ἀγλαοφῶν Ἀγλαοφῶντος, Ἱπποκῶν Ἱπποκῶντος, Δημοφῶν Δημοφῶντος, Ποσειδῶν Ποσειδῶνος, Σιμοῦς Σιμοῦντος, πλακοῦς πλακοῦντος, τιμῆς τιμῆντος,

1 Αἱ A: *ἱ V, lit. α a rubr. omissa | συλλαβὰς V: συλλαβαὶ A

προπαροξύνονται, οἷον *Δημοσθένης Δημοσθένεος*, *Σωκράτεος*, *Πάριδος* καὶ ὅλαι προπαροξύνονται. ἀπὸ δὲ ὀξυνομένων ἢ περισπωμένων πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον *βασιλεύς βασιλῆος*, *ἱμάς ἱμάντος*, ἀλλὰ καὶ *Ξενοφῶν Ξενοφῶντος*,
5 *Σιμοῦς Σιμοῦντος*. σεσημείωται ἡ *γυναικός* καὶ *θυγατρός* ὑπὲρ δύο συλλαβὰς οὖσαι ὀξυνόμεναι διὰ τὴν συνεκδρομὴν τῶν συγγενικῶν, τῆς *πατρός*, *ἀνδρός*, *μητρός*, [*θυγατρός*]. ἀλλὰ καὶ ἡ *μητέρος* καὶ *θυγατέρος* ἐντελεῖς οὖσαι καὶ παροξυνόμεναι σημειοῦνται, δέον προπαροξύνεσθαι, ὡς *Δημήτηρ Δημήτερος*,
10 *εἰνάτηρ εἰνάτερος*· ἀλλὰ καὶ αὗται πάλιν συνεξῆλθον τῇ *ἀνέρος*, *πατέρος*, *δαέρος*.

45. Αἱ εἰς -*ας* καὶ -*ης* γενικαὶ θηλυκαὶ ἀπὸ μὲν ὀξυνομένων εὐθειῶν καὶ περισπωμένων περισπῶνται· ἡ *φοβερά* τῆς *φοβερᾶς*, ἡ *καλή* τῆς *καλῆς*, ἀλλὰ καὶ *Ἀθηνᾶ Ἀθηνᾶς* καὶ *χρυσῆ*

οἷον (Σ 475) χρυσὸν τιμῆντα καὶ ἄργυρον; vestigia Herodianea servat etiam Eust. Od. I 15.38 ὁ δὲ Ἡρωδιανὸς καὶ τὸ θυγατρός καὶ θυγατρί καθὰ καὶ τὸ γυναικός γυναικί ὡς ἡμαρτημένα πρὸς ἀναλογίαν παρασημειούμενος, λέγει ὡς οὐδεμία γενικὴ εἰς -ος λήγουσα ὑπὲρ δύο συλλαβάς, ὀξύτονός ἐστιν et ibid. I 15.41 σημειῶδες παρ' αὐτῷ (scil. τῷ Ἡρωδιανῷ) καὶ τὸ θυγατέρος καὶ μητέρος, ὅτι πρὸ μιᾶς τὴν ὀξεῖαν ἔχει καὶ οὐ τρίτην ἀπὸ τέλους κατὰ τὸ Δημήτερος, εἰνάτερος **12–36,4 Αἱ**…*δοτικάς*] cf. § **73**; generalius loquitur Theod. I 36.16 Πᾶσα γενικὴ ὀνόματος κοινὴ ἀπαθὴς ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ εὐθεῖα, εἰ μή πω τις ἕτερος λόγος κωλύοι… τὸ γὰρ μιᾶς καὶ ἰᾶς Ἰωνικὴν ἔχει τὴν τάσιν; Choer. I 369.4, unde Ep. Hom. ε 55 (ll. 19–29); de μία μιᾶς, ἴα ἰᾶς vid. etiam sch. Z 422a[1] ubi Herodianus Aristarchum commemorat {οἱ μὲν πάντες} ἰῷ {κίον}: ἰῷ ὡς σοφῷ Ἀρίσταρχος, καὶ ἐπεκράτησεν αὐτοῦ ἡ ἀνάγνωσις. ἐκεῖνο μέντοι ἀναγκαῖον προσθεῖναι ὅτι τὸ ἴα βαρυτόνως ἀνέγνω ὁ ἀνὴρ καὶ τὸ μία, «οὐδ' ἴα γῆρυς» (Δ 437) καὶ «μία δ' οἴη» (Σ 565). τὰς μέντοι δοτικὰς περιέσπασεν «ἰῇ ἄρα γινόμεθ' αἴσῃ» (Χ 477) καὶ «ἰῇ δ' ἐν νυκτὶ γένοντο» (Σ 251). καί φασί γε τὸ τοιοῦτο εἶδος Ἰώνων εἶναι. τινὲς δὲ ἐτόλμησαν λέγειν αὐτὸ Ἀττικόν, λέγω δὲ ⟨τὸ⟩ ἐπὶ τῶν τοιούτων θηλυκῶν καταβιβασμὸν γίνεσθαι τόνου. οὕτως οὖν καὶ «μέσην ἐς ἄγυιαν» (Υ 254) ἀνέγνω, «ἐϋκτιμένας» δὲ «κατ' ἀγυιάς» (Ζ 391). μήποτε οὖν, ἐπεὶ καὶ τὸ ἰῇ ἐπὶ τῆς δοτικῆς περιέσπασε, συνεξομοιῶν τῷ τοῦ θηλυκοῦ τόνῳ κατὰ τὴν αὐτὴν πτῶσιν καὶ τὸ οὐδέτερον οὕτως ἀνέγνω ὁμοτόνως (scil. ἴον ἰῷ); vid. et locos ab Erbse ibi allatos

1 προπαροξύνονται scripsi coll. paulo inferius *δέον προπαροξύνεσθαι*: βαρύνονται AV **4** ἱμάς ἱμάντος V (coni. Dindorf): ἰμάς ἰμάντος spiritibus lenibus A **5** Σιμοῦς V: Συμοῦς A | σεσημείωται V: σεσ^η A **7** θυγατρός del. Lentz 410.26 **8** παροξυνόμεναι A^p.c.: προπαροξυνόμεναι A^a.c.V **10** αὗται V: αὖται A **12** Αἱ : *ἱ V, lit. α a rubr. omissa | -ης A: εἰς ης V **14** χρυσῆ V (coni. Dindorf): χρυσή A

χρυσῆς. αἱ δὲ ἀπὸ βαρυτόνων πρὸ μιᾶς ἔχουσι τὸν τόνον· *Μήδεια Μηδείας*, *ὁσία ὁσίας*. τὸ *μιᾶς* περισπώμενον ἀπὸ τοῦ *μία* βαρυνομένου Ἴωσί τινες ἀνατιθέασι, καὶ ἔτι ἀπὸ τοῦ *ἴα* τὸ *ἰᾶς*· ὁμοίως καὶ τὰς δοτικάς.

46. Πᾶσα δοτικὴ ⟨εἰς -ᾳ καὶ εἰς -ῃ καὶ εἰς -ῳ λήγουσα ἀπὸ 5 ὀξυτόνων μὲν ἢ περισπωμένων εὐθειῶν οὖσα περισπᾶται· * * * *. ἀπὸ δὲ βαρυτόνων πρὸ μιᾶς ἔχει τὸν τόνον· * * * *.

5–7 Πᾶσα…τόνον] non nominativus sing., sed genetivus sing., norma rei est ap. Theod. I 37.15 Πᾶσα δοτικὴ ἰσοσυλλαβοῦσα τῇ γενικῇ καὶ τὸν τόνον αὐτῆς ἔχει; Choer. I 375.23 Κανονίζει τὸν τόνον τῆς δοτικῆς καὶ λέγει, ὅτι πᾶσα δοτικὴ ἑνικῶν ἰσοσυλλαβοῦσα τῇ γενικῇ καὶ τὸν τόνον αὐτῆς ἔχει, οἷον καλοῦ καλῷ, σοφοῦ σοφῷ, Ὁμήρου Ὁμήρῳ, ἀνθρώπου ἀνθρώπῳ …

1 αἱ A: *ἱ V, lit. α a rubr. omissa **2** ὁσία Dindorf: ὅσια AV **3** βαρυνομένου] βαρ^υ A: βαρύνεται V **4** ὁμοίως…δοτικάς] scil. Ἴωσί τινες ἀνατιθέασι (μιᾷ, ἰᾷ) **5** ante Πᾶσα δοτικὴ tit. περὶ δοτικῆς praebet V **5–37,1** εἰς[1]…δοτικὴ lacunam indicavi coll. § **49** (ἀπὸ μὲν τῶν εἰς -ῳ …ἀπὸ δὲ τῶν εἰς -ῃ), § **84**, § **42**, § **45**; huiusmodi lacunas ratione in praef. V indicata expleo; Iohannes post περισπᾶται aeque atque post τόνον exempla nescio quae adiecisse putandus; vid. Xenis[3]

47. Πᾶσα δοτική⟩ δισύλλαβος εἰς -ι ἐκφωνούμενον λήγουσα ἑνική

1–38,11 Πᾶσα…δοτικήν] canon Herodianeus de huiusmodi dativorum accentu legitur ap. sch. Ξ 387a[1]… ἄμεινόν ἐστιν ἐκεῖνο λέγειν ὡς ὅτι εἴτε ἀπὸ τῆς δάϊς βαρυνομένης εἴτε ὀξυνομένης ἡ προκειμένη (scil. δαι) ἐστὶ δοτική, ὀφείλει ὀξύνεσθαι τῷ τὰς εἰς -ι συνεσταλμένον ληγούσας δοτικὰς καὶ μὴ συναλειφθείσας ἐπ' ὀνομάτων ἀρσενικάς τε καὶ θηλυκὰς ὀξύνεσθαι, «μηνί» (ω 118), χηνί. ταύτῃ καὶ «λιτί» (Σ 352. Ψ 254). οὕτως καὶ ἡ δαΐ, εἴτε ἀποκέκοπται, εἴτε συγκέκοπται, ὀξυτονηθήσεται (vid. et quos Erbse indicat locos, e.g. sch. Σ 352a (Hrd.)); alia ratione Theod. I 37.15 Πᾶσα δοτικὴ ἰσοσυλλαβοῦσα τῇ γενικῇ καὶ τὸν τόνον αὐτῆς ἔχει, ἔρωτος ἔρωτι, χηνός χηνί, γραός γραΐ; ibid. 41.23 Πᾶσα δοτικὴ πληθυντικὴ ἐπ' ἐκείνης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς ἂν καὶ ἡ δοτικὴ τῶν ἑνικῶν, μηνί μησί, καλῷ καλοῖς, χειρί χερσί· σεσημείωται τὸ πᾶσι; fere eadem Choer. I 375.23–32; propius ad Herodianum Choer. accedit in I 378.1 αἱ γὰρ εἰς -ι ἐκφωνούμενον λήγουσαι δισύλλαβοι δοτικαὶ ἐπ' ὀνομάτων ὀξύνεσθαι θέλουσιν, οἷον μητρί παιδί χηνί μηνί πατρί Τρωΐ σπληνί φρενί χθονί συΐ δρυΐ. Δεῖ προσθεῖναι «χωρὶς εἰ μὴ ἀπὸ συναιρέσεως εὑρεθῇ ἡ δοτική, ἢ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου, ἢ χαρακτῆρι ἀκολουθήσῃ»· πρόσκειται «χωρὶς εἰ μὴ ἀπὸ συναιρέσεως εὑρεθῇ ἡ δοτική», διὰ τὸ κέαρι κῆρι, ἔαρι ἦρι, λάαϊ λᾶϊ, Θέτιι Θέτι, (Σ 407) πάντα Θέτι καλλιπλοκάμῳ, μάστιι μάστι, (Ψ 500) μάστι δ' αἰὲν ἔλαυνε, μήτιι μήτι, (Ψ 318) μήτι δ' ἡνίοχος περιγίνεται ἡνιόχοιο· ἰδοὺ γὰρ αἱ δοτικαὶ αὗται δισύλλαβοι οὖσαι οὐκ ὀξύνονται· ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ ἀπὸ συναιρέσεώς εἰσι καὶ τούτου χάριν δισυλλαβοῦσιν, ἐπειδὴ δυνάμει ὑπὲρ δύο συλλαβάς εἰσι· καὶ ἡ σπῆϊ δὲ δοτική, οἷον (Ω 83) εὗρε δ' ἐνὶ σπῆϊ, προπερισπωμένη καὶ μὴ ὀξυνομένη οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ καὶ αὕτη ὑπὲρ δύο συλλαβάς ἐστι δυνάμει, ἀλλ' ἡ συναίρεσις αἰτία γέγονε τῆς δισυλλαβίας· ἔστι γὰρ σπέος σπέεος σπέεϊ, καὶ κατὰ κρᾶσιν τῶν δύο εε εἰς η σπῆϊ, ὥσπερ Ἡρακλέεος Ἡρακλῆος, (Υ 145) τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο. Πρόσκειται ⟨δέ⟩ «ἢ πρὸς ἀντιδιαστολὴν ἑτέρου σημαινομένου», ἐπειδὴ τὸ τίνι βαρύνεται πρὸς ἀντιδιαστολὴν τοῦ τινί ὀξυνομένου· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίνι δέδωκας; τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριστον ὀξύνεται, οἷον τινί· οὕτω γὰρ λέγομεν ἀντεπιφέροντες· πρόσκειται δέ «ἢ χαρακτῆρι ἀκολουθήσῃ», ἐπειδή ἐστι Φθάντι κύριον καὶ βαρύνεται πρὸς τὸν χαρακτῆρα τῶν μετοχῶν, ὥσπερ φθάντι βάντι θέντι δόντι. Πρόσκειται «ἐπ' ὀνομάτων», οἷον «αἱ εἰς ι ἐκφωνούμενον λήγουσαι δισύλλαβοι δοτικαὶ ἐπ' ὀνομάτων ὀξύνεσθαι θέλουσιν», διὰ τὰς μετοχάς· αὗται γὰρ βαρύνονται, οἷον βάντι στάντι θέντι δόντι φθάντι· «δισύλλαβοι» δὲ πρόσκειται διὰ τὸ Αἴαντι Θόαντι Λάχητι λέβητι πένητι Πάριδι ὄφεϊ πόλεϊ ἥρωϊ Μίνωϊ γέλωτι ἔρωτι Κτησιφῶντι Ξενοφῶντι Σιδῶνι ἀσπίδι ῥανίδι βολίδι κνημῖδι κρηπῖδι· αἱ γὰρ ὑπὲρ δύο συλλαβὰς εἰς ι ἐκφωνούμενον λήγουσαι δοτικαὶ ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, οἷον Αἴαντι Θόαντι Λάχητι λέβητι, ὑπεσταλμένης τῆς γυναικί καὶ θυγατρί δοτικῆς· καὶ

1 post δισύλλαβος subauditur ἀσυναίρετος, cf. id quod mox dicetur πάλιν τῶν συνῃρημένων γενικῶν et supra § **43**

τε καὶ πληθυντικὴ ὀξύνεται· *μηνί*, *μησί*, *φωτί*, *φωσί*, *Τρωί*, *Τρωσί*. πάλιν τῶν συνῃρημένων γενικῶν αἱ δοτικαὶ διὰ τὴν αὐτὴν αἰτίαν βαρύνονται· *ἦρι*, *κῆρι*. ὁμοίως καὶ αἱ μετοχαὶ βαρύνονται· *στάντι*, *στᾶσι*, *δόντι*, *δοῦσι* καὶ ἐπὶ πάντων ὁμοίως. ἡ *πᾶσι* βεβαρυτόνηται ὡς μετοχῆς τυχοῦσα ἀναλογίας. πάλιν αἱ *γυναικί* 5 καὶ *θυγατρί* σημειοῦνται· καθόλου γὰρ πᾶσα δοτικὴ ἰσοσυλλαβοῦσα τῇ ἰδίᾳ γενικῇ καὶ τὸν αὐτὸν ἔχει τόνον· εἰ οὖν τὸ *γυναικός* καὶ *θυγατρός* ὀξύνεται, εἰκότως ἄρα καὶ αἱ τούτων δοτικαὶ ὀξύνονται. ἔνθεν καὶ τὸ *τίνος* καὶ *τίνων* ὁπότε πυσματικῶς βαρύνεται, συμβαρύνει καὶ τὴν δοτικήν, *τίνι* καὶ *τίσι*· ὅτε δέ ἐστιν ἀόριστον, 10 ὀξύνεται καὶ συνοξύνει τὴν δοτικήν.

αὗται γὰρ παραλόγως ὀξύνονται, ὥσπερ καὶ ἡ γυναικός καὶ θυγατρός γενικὴ παραλόγως ὀξύνεται, ὡς ἐν τῇ περὶ γενικῆς ⟨διδασκαλίᾳ⟩ ἀπεδείξαμεν· πρόσκειται «εἰς ι ἐκφωνούμενον» διὰ τὸ τῇ σοφῇ, τῇ καλῇ· αὗται ⟨γάρ⟩ αἱ δοτικαὶ εἰς ι λήγουσαι περισπῶνται, ἀλλ' οὐκ ἔχουσιν ἐκφωνούμενον τὸ ι; ibid. 413.33 (unde Ep. Hom. τ 17; vid. et locos a Dyck ibi allatos); de κῆρι/κηρί, etiam sch. Δ 46a[1]; de γυναικί et θυγατρί etiam Hrd. ap. Eust. Od. I 15.39 ὁ δὲ Ἡρωδιανὸς καὶ τὸ θυγατρός καὶ θυγατρί καθὰ καὶ τὸ γυναικός γυναικί ὡς ἡμαρτημένα πρὸς ἀναλογίαν παρασημειούμενος, λέγει ὡς οὐδεμία γενικὴ εἰς -ος λήγουσα ὑπὲρ δύο συλλαβὰς, ὀξύτονός ἐστιν. ὁμοίως οὐδὲ δοτικὴ εἰς -ι περαιουμένη

2–3 διὰ…αἰτίαν] vid. § **43** **4–5** ἡ…ἀναλογίας] cf. § **79** **5** πάλιν] ad § **44** spectat

5–9 πάλιν…ὀξύνονται] γυναικί et θυγατρί utpote trisyllaba non magis huc pertinent quam ad § **48**, sed verba inde a πάλιν usque ad δοτικαὶ ὀξύνονται suam obtinere sedem demonstrant loci ἔνθεν καὶ τὸ τίνος sqq. et § **48** πάλιν ἡ γυναιξί σημειούσθω **5** αἱ V: om. A **6–7** ἰσοσυλλαβοῦσα V: ἰσοσυλλ^{α} A **8** ὀξύνεται V: ὀξ^{ύ} A | εἰκότως Dindorf quasi ex A: εἰκότος AV **9** τίνων Dindorf quasi ex A: τινῶν AV | βαρύνεται scripsi: βαρύνονται AV

48. Ἔτι αἱ εἰς -ι ἐκφωνούμενον λήγουσαι ὑπὲρ δύο συλλαβὰς ἀσυναίρετοι ἑνικαί τε καὶ πληθυντικαὶ βαρύνονται. ἀλλὰ προπαροξύνονται μὲν αἱ ἀπὸ βαρυτόνων εὐθειῶν· *Αἴας*, *Αἴαντι*, *Αἴασι*, *ἔρως*, *ἔρωτι*, *ἔρωσι*· καὶ γὰρ αἱ πληθυντικαὶ ὁμοίως. πρὸ μιᾶς δὲ
5 ἔχουσι τὸν τόνον αἱ ἀπὸ ὀξυτόνων ἢ περισπωμένων· *ἀβλής*, *ἀβλῆτι*, *ἀβλῆσι*, *εὐσεβής*, *εὐσεβέϊ*, *εὐσεβέσι*, ἀλλὰ καὶ *φθογγῆς*, *φθογγῆντι*, *φθογγῆσι*, *Ξενοφῶν*, *Ξενοφῶντι*, *Ξενοφῶσι*. καὶ ἐπὶ μετοχῶν· *λαβών*, *λαβόντι*, *λαβοῦσι*, *ποιῶν*, *ποιοῦντι*, *ποιοῦσι*. τὸ «*σπέσσι* (*γλαφυροῖσιν*)» (α

1–9 Ἔτι … ποιοῦσι] idem praeceptum subest in scholio Herodianeo ad Δ 235a[1] {οὐ γὰρ ἐπὶ} ψεύδεσσι: Ἀρίσταρχος ἀναγινώσκει «ψευδέσσι» ὡς σαφέσσι: τοῦτο γάρ φησι θέλει δηλοῦν· οὐ γὰρ τοῖς ψεύσταις Τρωσὶ βοηθεῖ ὁ Ζεύς. εἰ δὲ τὸ πρᾶγμα ἠβουλόμεθα παραλαβεῖν, ψεύδεσσιν ἀνέγνωμεν ὡς «βέλεσσιν» (A 42 al.), ἵνα ἀπ' εὐθείας ᾖ ἡ κλίσις· «ψεῦδος †οὐκ ἐρέει» (γ 20)... (vid. et locos ab Erbse allatos); Choer. I 378.23 Πρόσκειται «ἐπ' ὀνομάτων», οἷον «αἱ εἰς -ι ἐκφωνούμενον λήγουσαι δισύλλαβοι δοτικαὶ ἐπ' ὀνομάτων ὀξύνεσθαι θέλουσιν», διὰ τὰς μετοχάς· αὗται γὰρ βαρύνονται, οἷον βάντι στάντι θέντι δόντι φθάντι· «δισύλλαβοι» δὲ πρόσκειται διὰ τὸ Αἴαντι Θόαντι Λάχητι λέβητι πένητι Πάριδι ὄφεϊ πόλεϊ ἥρωϊ Μίνωϊ γέλωτι ἔρωτι Κτησιφῶντι Ξενοφῶντι Σιδῶνι ἀσπίδι ῥανίδι βολίδι κνημῖδι κρηπῖδι· αἱ γὰρ ὑπὲρ δύο συλλαβὰς εἰς -ι ἐκφωνούμενον λήγουσαι δοτικαὶ ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, οἷον Αἴαντι Θόαντι Λάχητι λέβητι, ὑπεσταλμένης τῆς γυναικί καὶ θυγατρί δοτικῆς· καὶ αὗται γὰρ παραλόγως ὀξύνονται, ὥσπερ καὶ ἡ γυναικός καὶ θυγατρός γενικὴ παραλόγως ὀξύνεται, ὡς ἐν τῇ περὶ γενικῆς ⟨διδασκαλίᾳ⟩ ἀπεδείξαμεν **9–40,5** τὸ … ὠξύνθη] cf. Hrd. ap. Choer. I 414.15 Ἀπορεῖ δὲ ὁ Ἡρωδιανὸς ἐν τῇ πρώτῃ τῆς Ὀδυσσειακῆς προσῳδίας λέγων οὕτως, ὅτι ὥσπερ τὸ ἀνδρός καὶ πατρός καὶ μητρός ὠξύνθησαν πρὸς τὸν χαρακτῆρα, φημὶ δὴ ὁμοίως τῷ μηνός χηνός γραός, διατί μὴ τὸν αὐτὸν τρόπον ὠξύνθη τὸ σπέσσιν, ἀπὸ τοῦ σπέεσσι γενόμενον κατὰ συγκοπήν, πρὸς τὸν χαρακτῆρα τοῦ μησί Τρωσί βουσί. Καὶ ἐπιλύεται λέγων, ὅτι ὁ διπλασιασμὸς τοῦ -σ- ἴδιός ἐστι τῶν ὑπὲρ δύο συλλαβὰς δοτικῶν πληθυντικῶν, αἵτινες καὶ μόνως βαρύνονται, οἷον κύνεσσι θήρεσσιν αἴγεσσιν· οὕτως οὖν καὶ σπέεσσι· τοῦτο τοίνυν συγκοπὲν καὶ γενόμενον σπέσσι διὰ μὲν τὴν δισυλλαβίαν ὤφειλεν ὀξύνεσθαι, διὰ δὲ τὸν διπλασιασμὸν τοῦ -σ-, ὅστις ἀεὶ ἐν βαρυνομέναις δοτικαῖς θεωρεῖται, [κατὰ τοῦτο] ἐβαρύνθη· τὸ (ex. gr. B 44) ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο ἔχει διπλασιασμὸν τοῦ -σ- καὶ οὐ βαρύνεται, ἀλλ' οὐ παραλήγοντος τοῦ -ε-, ὥσπερ ἐπὶ τῶν προλεχθέντων παραδειγμάτων, οἷον ⟨ἐπὶ⟩ τοῦ κύνεσσι θήρεσσι καὶ τῶν τοιούτων.

3 Αἴασι V: αἴσι A **5** ὀξυτόνων Bloch: βαρυτόνων AV | ἀβλής Dindorf praef. vi: ἀβλῆς AV **7** Ξενοφῶντι A: ξενοφῶν V **9** σπέσσι Lentz 413.7: σπέσι AV

15 al.), ὅσον ἐπὶ τῇ δισυλλαβίᾳ ὀξύνεσθαι ὤφειλεν, νῦν δὲ τῷ τύπῳ βεβαρυτόνηται· τὰ γὰρ ἔχοντα δεδιπλασιασμένον τὸ -σ-, τῷ -ε- παραληγόμενα, βαρύνεται· *θήρεσσι*, *κύνεσσι*· οὕτως οὖν καὶ τὸ *σπέσσι*. τὸ γοῦν *ποσσί*, μὴ παραληγόμενον τῷ -ε-, εὐλόγως ὠξύνθη. πάλιν ἡ *γυναιξί* σημειούσθω. αἱ πλεονάσασαι τῷ -α- κατὰ 5 τὴν παραλήγουσαν παροξύνονται· *πατράσι*, *θυγατράσι*, *μητράσι*.

5 πάλιν] vid. §§ **44**, **47** **5–7** αἱ...μητράσι] cf. Theod. I 42.1 Αἱ πλεονάσασαι τῷ (τῷ Bb: τὸ cett.) -α- πρὸ μιᾶς ἔχουσι τὸν τόνον, πατράσι θυγατράσι; Choer. I 414.33 Αἱ μέντοι, φησί, πλεονάσασαι δοτικαὶ πληθυντικαὶ τῷ (τῷ b: τὸ CT) -α- παροξύνονται, οἷον πατρί πατράσι, θυγατρί θυγατράσιν, ἀνδρί ἀνδράσιν, υἷι υἱάσιν· ἔστι γὰρ ὑΐς ὑΐος ὑΐι, καὶ κατὰ συναίρεσιν τοῦ υ καὶ ι εἰς τὴν υι δίφθογγον υἷι· καὶ ἐπειδὴ τοῦ ς προσερχομένου ἀσυνταξία ἤμελλε γίνεσθαι—οὐδέποτε γὰρ μετὰ τὴν υι δίφθογγον σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, οἷον μυῖα ἅρπυια υἱός—τούτου χάριν ἐπλεόνασε τῷ (scripsi: τὸ codd.) α καὶ γέγονεν υἱάσιν

1 τῷ τύπῳ A: τὸ τύπτω V **3** βαρύνεται] βαρ^ύ A: βαρύνονται V | κύνεσσι A: κύνεσσιν V **4** σπέσσι Lentz 413.10: σπέσι AV | ποσσί V (coni. Lentz 413.10): ποσί A **5** τῷ scripsi: τὸ AV | ὠξύνθη Dindorf quasi ex A: ὀξύνθη AV

49. Αἱ μεταπεπλασμέναι ὑπὲρ δύο συλλαβὰς ἀπὸ μὲν τῶν εἰς -ῳ προπαροξύνονται· *πολυπατάγῳ πολυπάταγι, διχομήνῳ διχόμηνι.* (τοῦτο δύναται ἀπὸ τοῦ *διχόμηνις*, «πρός γάρ οἱ διχόμηνις ἀπ' αἰθέρος αὐγάζουσα», Ἀπολλώνιος (Ap. Rh. 1.1231), καὶ

1–42,6 Αἱ…εὐλογούμενον] Theodosius de solis dativis qui a dativis in -ῳ exeuntibus orti sunt disserit: I 37.19 Αἱ μεταπεπλασμέναι δοτικαὶ προπαροξύνονται, εἰ μὴ δισυλλαβία κωλύσοι, διχόμηνι πολυπάταγι μελίκρατι· τὸ γὰρ μελικρᾶτι ἀρσενικὸν ἀπὸ τοῦ ὁ μελικράς κέκλιται; Theodosium interpretatur Choer. in I 377.8 Φησὶ δὲ ὁ τεχνικός, ὅτι αἱ μεταπεπλασμέναι δοτικαὶ εἰς -ι λήγουσαι προπαροξύνεσθαι θέλουσι, δηλονότι ὑπὲρ δύο συλλαβὰς οὖσαι· τοῦτο γάρ ἐστι τὸ εἰρημένον αὐτῷ «εἰ μὴ δισυλλαβία κωλύσῃ», οἷον ὁ πολυπάταγος τοῦ πολυπατάγου τῷ πολυπατάγῳ παροξυτόνως, καὶ γίνεται κατὰ μεταπλασμὸν τῷ πολυπάταγι προπαροξυτόνως· καὶ πάλιν ἐστὶν ἡ διχόμηνος τῆς διχομήνου τῇ διχομήνῳ παροξυτόνως, καὶ γίνεται κατὰ μεταπλασμὸν διχόμηνι καὶ προπαροξύνεται· αὕτη δὲ ἡ δοτικὴ δύναται καὶ ἀπὸ τῆς διχόμηνις προπαροξυτονουμένης διὰ τοῦ -δος κλινομένης εἶναι εὐθείας· ἔστι γὰρ διχόμηνις διχομήνιδος διχομήνιδι, καὶ κατὰ συγκοπὴν τοῦ δ καὶ τοῦ ι διχόμηνι, καὶ εὐλόγως προπαροξύνεται τῷ λόγῳ τῆς συγκοπῆς … καὶ πάλιν ἐστὶ τὸ μελίκρατον καὶ τὸ χαλκόκρατον, τοῦ μελικράτου καὶ τοῦ χαλκοκράτου, τῷ μελικράτῳ καὶ τῷ χαλκοκράτῳ, καὶ γίνονται κατὰ μεταπλασμὸν τῷ μελίκρατι καὶ τῷ χαλκόκρατι καὶ προπαροξύνονται· ἐὰν δὲ εὑρεθῶσι προπερισπωμένως αἱ δοτικαὶ αὗται τῷ μελικρᾶτι καὶ τῷ χαλκοκρᾶτι, γνῶθι ὅτι ἀπὸ τοῦ ὁ μελικράς καὶ ὁ χαλκοκράς γίνονται, καὶ οὐ κατὰ μεταπλασμὸν γεγόνασιν ἀλλὰ κατὰ ἀκόλουθον κλίσιν, οἷον μελικράς μελικρᾶτος μελικρᾶτι, χαλκοκράς χαλκοκρᾶτος χαλκοκρᾶτι; paulo inferius Choeroboscus addit haec e Catholica sumens: I 379.1 Δεῖ προσθεῖναι ἐν τῷ κανόνι τῶν μεταπεπλασμένων δοτικῶν τῷ λέγοντι, ὅτι αἱ μεταπεπλασμέναι δοτικαὶ αἱ εἰς -ι λήγουσαι προπαροξύνεσθαι θέλουσι, δηλονότι ὑπὲρ δύο συλλαβὰς οὖσαι, «χωρὶς τῶν ἀπὸ τῶν εἰς -η (scripsi: -ν CTb; spurius est me iudice locus Arcadii 149.5 quem Hilgard sequitur; vid. praef.) θηλυκῶν φύσει μακρᾷ παραληγομένων»· ἔστι γὰρ ἡ ὑσμίνη τῆς ὑσμίνης τῇ ὑσμίνῃ καὶ ἡ Δωδώνη τῆς Δωδώνης τῇ Δωδώνῃ, καὶ ἐπειδὴ εἰς -η (scripsi: -ν CTb) ἐστὶν ἡ εὐθεῖα τούτων καὶ φύσει μακρᾷ παραλήγεται, τούτου χάριν γινόμεναι κατὰ μεταπλασμὸν ἐν τῇ δοτικῇ εἰς -ι (scripsi: -νι Cb: -ν T) προπερισπῶνται καὶ οὐ παροξύνονται, ὡς παρὰ τῷ ποιητῇ (Θ 56) μέμασαν δὲ καὶ ὧς ὑσμῖνι μάχεσθαι, καὶ παρὰ Καλλιμάχῳ (fr. 483 Pf.) μή με τὸν ἐν Δωδῶνι λέγοι μόνον οὕνεκα χαλκόν; de Δωδώνῃ Δωδῶνι cf. sch. Soph. Trach. 171–2.2 … ὡς ἀπ' εὐθείας δὲ τῆς *ἡ Δωδών* ὡς *Πλευρών*· Ὅμηρος δὲ *Δωδώνην* εἶπεν (vid. et locos a Xenis ibi allatos); de ὑσμίνῃ ὑσμῖνι, cf. Et. Gen. α 272 … ὥσπερ ἀπὸ τῆς ὑσμίνη δοτικῆς κατὰ μεταπλασμὸν ὑσμῖνι (Β 863…) καὶ λιτῷ λιτί (Σ 352 …), vid. et locos a L.–L. laudatos

1 -ῳ Lentz 413.14: -ω (sine iota) AV **4** ἀπ' αἰθέρος V: ἀπαιθέρος A

δοτικῆς, *διχομήνιδι*, ἀποκεκόφθαι, «οὐδέ τις ἀδρανέων φέρεται διχόμηνι σελήνῃ» (Arat. 471) καὶ ἀναδρομὴν ποιήσασθαι τοῦ τόνου). ἀπὸ δὲ τῶν εἰς -*η* προπερισπῶνται· *ὑσμίνη ὑσμῖνι* («μέμασαν δὲ καὶ ὑσμῖνι μάχεσθαι», Θ 56), *Δωδώνη Δωδῶνι* (ὁ Σοφοκλῆς *Ὀδυσσεῖ ἀκανθοπλῆγι*, fr. 461 R.· «καὶ τὸν ἐν Δωδῶνι παῦσον 5 δαῖμον' εὐλογούμενον»). ὁμοίως καὶ αἱ πληθυντικαὶ μεταπεπλασμέναι εἰς -*σι* λήγουσαι προπαροξύνονται· *ἔγκασι*, *ἄστρασι*, *πρόβασι*.

6–8 αἱ…πρόβασι] cf. Theod. I 42.2 αἱ δὲ μεταπεπλασμέναι προπαροξύνονται, ἄστρασι πρόβασι ἔγκασι; Choer. I 415.4 Αἱ μέντοι μεταπεπλασμέναι δοτικαὶ πληθυντικαὶ προπαροξύνεσθαι θέλουσιν, οἷον προβάτοις πρόβασιν, ἐγκάτοις ἔγκασιν, ἄστροις ἄστρασιν, ὑπεσταλμένου τοῦ ἀρρῶξιν, ὡς παρὰ Σοφοκλεῖ ἐν Ἀχιλλέως Ἐρασταῖς (fr. 156 R.) ὁ δὲ ἔνθ' ὅπλοις ἀρρῶξιν Ἡφαίστου τεχνίτου· τοῦτο γὰρ κατὰ μεταπλασμὸν ἀπὸ τοῦ ἀρρήκτοις γενόμενον, τοῦ η τραπέντος εἰς τὸ ω, προπερισπᾶται καὶ οὐ προπαροξύνεται

1 διχομήνιδι Lentz 413.17: διχόμηνι, δὸς AV **3** -η scripsi: -η (sine iota) AV μέμασαν Dindorf quasi ex A: μέμασα AV **4** post καὶ habet ὧς Homerus **5** Ὀδυσσεῖ V: ὀδ- A | τὸν A: τὰ V **6** δαῖμον' εὐλογούμενον Bloch: δαῖμον συλογούμενον (συλλ- V) AV **7** ἔγκασι A: ἔγκασιν V

50. Αἱ αἰτιατικαὶ ἑνικαὶ εἰς -α λήγουσι ἢ εἰς -ν ἀπαθεῖς οὖσαι. αἱ μὲν οὖν εἰς -α λήγουσαι ἐπ' ἐκείνης τῆς συλλαβῆς ἔχουσι τὸν τόνον,

1–44,4 Αἱ…τόνος] genetivus sing., non nominativus sing., norma rei est ap. Theod. I 38.2 Πᾶσα αἰτιατικὴ ἐπὶ ταύτης ἔχει τῆς συλλαβῆς τὸν τόνον ἐφ' ἧς καὶ ἡ γενική, πλὴν τῶν εἰς -α δισυλλάβων, ἀβλῆτος ἀβλῆτα, λιμένος λιμένα, Δημήτερος Δημήτερα, Διομήδεος Διομήδεα, καλοῦ καλόν, μάντιος μάντιν· ἐπὶ μέντοι τοῦ Ὁμήρου Ὅμηρον εἴπομεν ὡς ἡ γενικὴ ἠνάγκαστο ὑπὸ τῆς μακρᾶς παροξύνεσθαι … Αἱ μέντοι εἰς -α αἰτιατικαὶ δισύλλαβοι μόνως βαρύνονται, χῆνα παῖδα· τὸ τίνα πάλιν πρὸς τὴν σημασίαν ἔχει τὸν τόνον et ap. Choer. I 379.15 Ἰστέον [δὲ] ὅτι περὶ τοῦ τόνου τῆς αἰτιατικῆς διαλαμβάνει καὶ λέγει, ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ γενική, πλὴν τῶν εἰς -α δισυλλάβων· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, ἀβλῆτος ἀβλῆτα (τὰ δύο προπερισπῶνται), ἱδρῶτος ἱδρῶτα (ὁμοίως), λιμένος λιμένα (τὰ δύο παροξύνονται), ἀσπίδος ἀσπίδα ⟨ὁμοίως⟩, Δημήτερος Δημήτερα (τὰ δύο προπαροξύνονται), Διομήδεος Διομήδεα (ὁμοίως)· καλοῦ καλόν, σοφοῦ σοφόν· ταῦτα μὲν ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἐφύλαξαν τὸν τόνον, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ καλοῦ καὶ σοφοῦ περισπᾶται, τὸ δὲ καλόν καὶ σοφόν ὀξύνεται, ἐπειδὴ βραχυκαταληκτοῦσι, περισπωμένη δὲ ἐπάνω βραχείας οὐ τίθεται ἀλλ' ἐπάνω φύσει μακρᾶς, οἷον Ἑρμῆς Ἡρακλῆς βοῦν νοῦν. Ἐπὶ μέντοι τοῦ Ὁμήρου Ὅμηρον καὶ ἀνθρώπου ἄνθρωπον ἐμάθομεν, ὅτι ἡ μακρὰ κατεβίβασεν ἐξ ἀνάγκης τὸν τόνον ἐν τῇ γενικῇ, ἐπειδὴ καὶ αὕτη ὤφειλε προπαροξύνεσθαι ὁμοίως τῇ εὐθείᾳ, ὡς ἐν τῇ περὶ γενικῆς ⟨διδασκαλίᾳ⟩ μεμαθήκαμεν· ἡ δὲ αἰτιατικὴ μὴ ἔχουσα μακρὰν τὴν τελευταίαν συλλαβὴν ἠκολούθησε τῷ τόνῳ τῆς εὐθείας καὶ προπαρωξύνθη, οἷον Ὅμηρος Ὅμηρον, ἄνθρωπος ἄνθρωπον· ἡ Ἀδώνιδα αἰτιατικὴ τῇ Ἀδώνιδος γενικῇ συντονοῦται· ὅταν δὲ φύγῃ τὴν τετρασυλλαβίαν, τότε τῇ ἰδίᾳ εὐθείᾳ συντονοῦται, οἷον Ἄδωνις Ἄδωνιν, ἐπειδὴ τότε ἐξ αὐτῆς κανονίζεται· τὸ ἴαν καὶ μίαν ὁμοίως ταῖς ἰδίαις εὐθείαις βαρύνεται, φημὶ δὴ τῇ ἴα καὶ μία· ἐμάθομεν γὰρ ὅτι αἱ γενικαὶ Ἰωνικῷ ἔθει κατεβίβασαν τὸν τόνον, οἷον τὸ ἰᾶς καὶ μιᾶς, ἐπεὶ καὶ αὗται ὁμοίως ταῖς ἰδίαις εὐθείαις ὤφειλον βαρύνεσθαι … (381.20) Πρόσκειται ἐν τῷ κανόνι τοῦ τεχνικοῦ «πλὴν τῶν εἰς -α δισυλλάβων», οἷον «πᾶσα αἰτιατικὴ ἑνικῶν ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ γενική, πλὴν τῶν εἰς -α δισυλλάβων», ἐπειδή, ὥς φησιν ὁ τεχνικός, αἱ εἰς -α λήγουσαι αἰτιατικαὶ δισύλλαβοι μόνως βαρύνονται· ἰδοὺ γάρ ἐστι φωτός μηνός χηνός παντός ὀξυτόνως, τὸ δὲ φῶτα μῆνα χῆνα πάντα βαρύνονται· εἰρήκαμεν γὰρ ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς -α λήγουσα ἀπέστραπται τὴν ὀξεῖαν τάσιν· τὸ γὰρ τίνα καὶ τινά, ὡς εἴρηται, πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον; sed ap. Choer. I 381.1 nominativus norma rei est πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς -α λήγουσα, ἔχουσα παροξυνομένην τὴν εὐθεῖαν, προπαροξύνεται, οἷον Αἴας Αἴαντα, λέβης λέβητα, πένης πένητα, Πέλοψ Πέλοπα, χαρίεις χαρίεντα, Ἕκτωρ Ἕκτορα, Δημήτηρ Δημήτερα, εἰνάτηρ εἰνάτερα

1 Αἱ A: αἱ (rubr.) αἱ V | ante Αἱ αἰτιατικαὶ praebet tit. περὶ αἰτιατικῆς V

ἐφ’ ἧς καὶ ἡ εὐθεῖα, εἰ μὴ τονικὸν κωλύοι παράγγελμα· *Αἴας Αἴαντα, μήν μῆνα, σωτήρ σωτῆρα*. ἐπὶ δὲ τοῦ *Ἄδωνις Ἀδώνιδα, Ἄθηνις Ἀθήνιδα* διὰ τὸ μὴ πρὸ τριῶν πίπτειν ποτὲ τὸν τόνον, κατεβιβάσθη ⟨μίαν⟩ συλλαβὴν ὁ τόνος. πάλιν τὸ

4–45,7 πάλιν…λευκήν] Choeroboscus accentum accusativorum μητέρα et θυγατέρα ratione Herodianea aggressus est in I 380.37 (sed vid. inferius) Ἄλλως τε δὲ διὰ τοῦτο προπαροξύνεται ἡ θύγατρα αἰτιατική, ἐπειδὴ πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς -α λήγουσα, ἔχουσα παροξυνομένην τὴν εὐθεῖαν, προπαροξύνεται, οἷον Αἴας Αἴαντα, λέβης λέβητα, πένης πένητα, Πέλοψ Πέλοπα, χαρίεις χαρίεντα, Ἕκτωρ Ἕκτορα, Δημήτηρ Δημήτερα, εἰνάτηρ εἰνάτερα· εἰ ἄρα οὖν ἡ θυγάτηρ εὐθεῖα παροξύνεται, δῆλον ⟨ὅτι⟩ εὐλόγως ἡ θύγατρα αἰτιατικὴ προπαροξύνεται, εἰ καὶ ἡ ἀπαθὴς θυγατέρα αἰτιατικὴ παραλόγως παροξύνεται, ἔτι δὲ καὶ ἡ μητέρα—μήτηρ γὰρ ἡ εὐθεῖα παροξυτόνως καὶ θυγάτηρ—ὥσπερ ⟨καὶ⟩ ἐν τῇ θυγατέρος γενικῇ καὶ μητέρος, ὡς ἐμάθομεν ἐν τῷ περὶ ⟨τῆς⟩ γενικῆς λόγῳ, [παραλόγως παροξύνονται ταῦτα] ἡνίκα ἐλέγομεν ὅτι ἠκολούθησαν κατὰ τὸν τόνον τῆς γενικῆς ταῦτα τοῖς ἰδίοις συγγενικοῖς, φημὶ δὴ τῷ πατέρος ἀνέρος δαέρος (δαήρ δέ ἐστιν ὁ ἀνδράδελφος); alia ratione Theod. I 38.2 Πᾶσα αἰτιατικὴ ἐπὶ ταύτης ἔχει τῆς συλλαβῆς τὸν τόνον ἐφ’ ἧς καὶ ἡ γενική…σεσημείωται τὸ θύγατρα καὶ γυναῖκα; Theodosium interpretatur Choer. in I 380.4 Τούτων οὕτως ἐχόντων σεσημείωται τὸ γυναικός γυναῖκα καὶ θυγατρός θύγατρα, ὅτι ἡ μὲν γενικὴ τούτων ὀξύνεται, ἡ δὲ αἰτιατικὴ βαρύνεται· οὐ δύναται δὲ ἡ αἰτιατικὴ ἐνταῦθα φυλάξαι τὴν ὀξεῖαν τάσιν τῆς γενικῆς, ἐπειδὴ πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς -α λήγουσα ἀποστρέφεται τὴν ὀξεῖαν τάσιν, οἷον Αἴαντα Θόαντα πένητα μῆνα χῆνα παῖδα Κτησιφῶντα Ξενοφῶντα Ποσειδῶνα ἀσπίδα ῥανίδα κρηπῖδα· ὅθεν τὸ νιφάδα γινόμενον κατὰ συγκοπὴν νίφα ἀνεβίβασε τὸν τόνον, οἷον (Hes. Opp. 535) ἀλευόμενοι νίφα λευκήν, ὡς μὴ δυνάμενον ὀξύνεσθαι διὰ τὸν κανόνα τὸν προλεχθέντα· καὶ πάλιν ἡ φυγήν αἰτιατικὴ γινομένη κατὰ μεταπλασμὸν φύγα ἐβαρύνθη, ὡς παρὰ τῷ ποιητῇ (Θ 157) φύγα δ’ ἔτραπε μώνυχας ἵππους, ἀντὶ τοῦ εἰς φυγήν, ὡς μὴ δυνάμενον ὀξυνθῆναι διὰ τὸν προλεχθέντα κανόνα· τὸ τίνα καὶ τινά πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίνα ἔτυψας; τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριστον ὀξύνεται, οἷον τινά· τὸ Ἐρετριᾶ καὶ Πειραιᾶ καὶ Στειριᾶ οὐκ ὀξύνονται ἀλλὰ περισπῶνται· ἀπὸ γὰρ τοῦ Ἐρετριέα καὶ Πειραιέα καὶ Στειριέα γεγόνασι κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς α μακρόν· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, Ἡρακλέης Ἡρακλῆς, εὐσεβέος εὐσεβοῦς· τούτου ⟨οὖν⟩ χάριν τῆς γυναικός καὶ θυγατρός γενικῆς ὀξυνομένης ἡ γυναῖκα καὶ θύγατρα αἰτιατικὴ οὐκ ὀξύνεται ἀλλὰ βαρύνεται; praeter Choeroboscum, canonem de accentu accusativi in -α desinentis praebet Hrd. ap. sch. Σ 352a …οὐχ ὁμότονος δὲ ἐγένετο ἡ λῖτα τῇ λιτόν, ἐπεὶ πᾶσα αἰτιατικὴ εἰς -α λήγουσα ἐβαρύνετο, ὑπεσταλμένης τῆς «τινά» (Α 62al.) κατὰ ἀόριστον προφοράν; Hrd. ap. sch. Ψ

1 κωλύοι AV[p.c.]: κωλύει V[a.c.] **2** μήν A: μῆν V **2–3** Ἄδωνις…Ἀθήνιδα Lentz 414.15: ἀδωνὶς ἀδωνίδα, ἀθηνὶς ἀθηνίδα AV **4** μίαν addidi

γυναῖκα προπερισπώμενον, δέον προπαροξύνεσθαι, ἐπεὶ καὶ ἡ εὐθεῖα *γύναιξ* παροξύνεται· σημειωτέον οὖν αὐτό. καὶ ἔτι τὸ *μητέρα* καὶ *θυγατέρα* παροξυνόμενα· ἔδει γὰρ ⟨ὡς⟩ καὶ ἐπὶ τοῦ *θυγάτηρ* καὶ *μήτηρ*· ἀλλὰ πάλιν κἀνταῦθα συνεξῆλθον ταῖς
5 συγγενικαῖς, *δαέρα*, *πατέρα*, *ἀνέρα*. Οὐδεμία εἰς -α λήγουσα αἰτιατικὴ ὀξύνεται· ἔνθεν ἡ *νιφάδα* ἀποκοπεῖσα ἀνεβιβάσθη· «ἀλευόμενοι νίφα λευκήν» (Hes. Op. 535).

254b[1]/b[2]; Hrd. ap. sch. **Θ** 441c … πᾶσα αἰτιατικὴ ἑνικὴ ἀπαθὴς εἰς -α λήγουσα βαρύνεται, ὑπεσταλμένης τῆς τινά. ἀπαθὴς διὰ τὸ εὐφυᾶ διφυᾶ καὶ τὰ τοιαῦτα…; de νίφα ex νιφάδα per apocopen facto vid. praeter Choer. etiam sch. Hes. Op. 532–5 *οἳ σκέπα μαιόμενοι, ἕως τοῦ ἀλευόμενοι νίφα λευκήν: τρισὶν ἀποκοπαῖς ὀνομάτων ἐχρήσατο· τὸ μὲν σκέπασμα σκέπα καλῶν, τὴν δὲ νιφάδα νίφα, τὸ δὲ γλαφυρὸν γλάφυ (vid. et locos a Pertusi allatos)
6 ἀποκοπεῖσα] regula de accentu vocabulorum apocope affectorum colligi potest ex § **53** ἀποκοπεῖσαι οὐκ ἤμειψαν τῶν ὁλοκλήρων τὸν τόνον

2 παροξύνεται V: παροξ^ύ A **3** ὡς add. Lentz 414.20 **4** κἀνταῦθα V: κἀνταῦτα A **6–7** ἀλευόμενοι ex Hesiodo restituit Lentz 415.3: ἀνευόμενον AV (cave Dindorfio credas ἀνευώμενον vel ἀνευώμενοι in A exstare) **7** νίφα ex Hesiodo restituit Lentz 415.3: νιφάδα AV

51. Πᾶσα εἰς -ν λήγουσα αἰτιατικὴ μονοσύλλαβος περισπᾶται· *νοῦν, χοῦν, μῦν, δρῦν, κλεῖν, μνᾶν, βοῦν.*

1–2 Πᾶσα…βοῦν] Herodiani praeceptum legitur etiam in sch. Λ 480c (unde Eust. Il. III 238.2) λῖν: περισπαστέον κατὰ νόμον τῶν μονοσυλλάβων αἰτιατικῶν· πᾶσα γὰρ αἰτιατικὴ μονοσύλλαβος εἰς -ν λήγουσα περισπᾶται, ἀπέστραπται δὲ τὸν ὀξὺν τόνον, †μοῦν†, μνᾶν, «σῦν» (I 539 al.), μῦν. ταύτῃ καὶ ἡ κλεῖδα αἰτιατικὴ γενομένη κλεῖν περισπᾶται, τῆς εὐθείας ὀξυνομένης. ταῦτα Ἡρωδιανὸς ἐν τῷ πεντεκαιδεκάτῳ τῆς Καθόλου; etiam in sch. Λ 480d (Hrd.); sch. Λ 239c[1] (Hrd.); Theod. I 38.8 Αἱ μέντοι μονοσύλλαβοι εἰς -ν λήγουσαι αἰτιατικαὶ περισπῶνται, κλεῖν λῖν μῦν σῦν ζῶν θεῦν; Choer. I 381.28 Αἱ μέντοι εἰς -ν λήγουσαι αἰτιατικαὶ μονοσύλλαβοι δηλονότι μακροκατάληκτοι περισπῶνται, οἷον μῦν σῦν δρῦν λῖν (σημαίνει δὲ τὸν λέοντα, (Λ 480) ἐπί τε λῖν ἤγαγε δαίμων) γραῦν ζῶν (ἀντὶ τοῦ ζῶντα) θεῦν (τὴν θεῦν Ἄρτεμιν οἷ' ἔπαθεν, ἀντὶ τοῦ τὴν θεόν)· γέγονε ⟨δὲ⟩ κατὰ κρᾶσιν Δωρικὴν ἢ Ἰωνικὴν τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον τὴν θεῦν, ὥσπερ Ἐρέβεος Ἐρέβευς, καὶ ὤφειλεν ὀξύνεσθαι, ἐπειδὴ ἡ βαρεῖα καὶ ἡ ὀξεῖα εἰς ὀξεῖαν συναιροῦνται, οἷον ζωός ζώς, ἑσταώς ἑστώς, Νηρηΐς Νηρής, ἀλλὰ τῷ κανόνι τῷ λεχθέντι περιεσπάσθη. Πάλιν ἐστὶ κλεῖν περισπωμένως … Πρόσκειται ἀνωτέρω «δηλονότι μακροκατάληκτοι», οἷον «αἱ εἰς -ν λήγουσαι αἰτιατικαὶ μονοσύλλαβοι δηλονότι μακροκατάληκτοι περισπῶνται», διὰ τὸ ἕν, οἷον ἓν βιβλίον· τοῦτο γὰρ ὀξύνεται, ἀλλ' οὐκ ἔστι μακροκατάληκτον ἀλλὰ βραχυκατάληκτον· περισπωμένη δὲ οὔτε ἐπάνω βραχείας οὔτε ἐπάνω θέσει μακρᾶς τίθεται, ἀλλ' ἐπάνω φύσει μακρᾶς, οἷον Ἑρμῆς παῖς βοῦς νοῦς Ἡρακλῆς.

1 post μονοσύλλαβος facile subauditur μακροκατάληκτος similiter atque in sch. Λ 480c

52. Αἱ ὑπὲρ μίαν συλλαβὴν ἰσοσύλλαβοι καὶ ὁμόχρονοι ταῖς εὐθείαις οὖσαι ὁμότονοί εἰσι· *καλός καλόν*, *Ἑρμῆς Ἑρμῆν*, *χρυσοῦς χρυσοῦν*, *Ἀτρείδης Ἀτρείδην*, *ταχύς ταχύν*. εἶπον δὲ «ὁμόχρονοι» διὰ τὸ *ἰχθύν*· ὀξύνεται γὰρ παρὰ Πινδάρῳ
5 (fr. 306 Maehler), ἐπεὶ βραχὺ τὸ -υ- τῆς αἰτιατικῆς, τῆς εὐθείας μακρὸν ἐχούσης καὶ παραλόγως περισπωμένης.

1–6 Αἱ…περισπωμένης] doctrinam Herodianeam sequitur Choer. I in p. 382.31 Τούτων οὕτως ἐχόντων δεῖ γινώσκειν, ὅτι πᾶσα αἰτιατικὴ ἑνικῶν εἰς -ν λήγουσα, φυλάττουσα τὸν χρόνον τῆς εὐθείας, πάντως καὶ τὸν τόνον αὐτῆς φυλάττει, ὑπεσταλμένων τῶν εἰς -ν ληγουσῶν μονοσυλλάβων αἰτιατικῶν· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, καλός καλόν, σοφός σοφόν, σεμνός σεμνόν, βραχύς βραχύν, ὀξύς ὀξύν, ποιητής ποιητήν, αὐλητής αὐλητήν, ἀθλητής ἀθλητήν, πληθύς πληθύν, ὀϊζύς ὀϊζύν, Ἐρινύς Ἐρινύν, φίλος φίλον, κοῦφος κοῦφον, μάντις μάντιν, ὄρνις ὄρνιν, βότρυς βότρυν, ἡμέρα ἡμέραν, διφθέρα διφθέραν, Ἑλένη Ἑλένην, Ἀφροδίτη Ἀφροδίτην, Ἀτρείδης Ἀτρείδην, Ὀρέστης Ὀρέστην, μία μίαν, μέγας μέγαν, Λιχᾶς Λιχᾶν, χρυσοῦς χρυσοῦν, χαλκοῦς χαλκοῦν, ἀργυροῦς ἀργυροῦν, σιδηροῦς σιδηροῦν, βοῦς βοῦν. Πρόσκειται ἐν τῷ κανόνι «φυλάττουσα τὸν χρόνον τῆς εὐθείας» διὰ τὸ ἰχθῦς ἰχθύν, (Pi. fr. 306 Maehler) ἰχθὺν παιδοφάγον· αὕτη γὰρ συστέλλει τὸ υ καὶ οὐχ ὁμοτονεῖ τῇ περισπωμένῃ εὐθείᾳ· πρόσκειται «ὑπεσταλμένων τῶν εἰς -ν ληγουσῶν μονοσυλλάβων αἰτιατικῶν» διὰ τὸ κλείς κλεῖν, λίς λῖν, κίς κῖν (σημαίνει δὲ τὸν σκώληκα)· ἰδοὺ γὰρ ἐπὶ τούτων ἡ μὲν εὐθεῖα ὀξύνεται, ἡ δὲ αἰτιατικὴ περισπᾶται· περισπᾶται δὲ τῷ λόγῳ τῶν εἰς -ν ληγουσῶν μονοσυλλάβων αἰτιατικῶν, ὅντινα εἰρήκαμεν ἀνωτέρω. **5–6** τῆς[2]…περισπωμένης] vid. § **36**

1 post Αἱ…συλλαβὴν subauditur εἰς -ν λήγουσαι αἰτιατικαί | ἰσοσύλλαβοι Dindorf: ἰσοσύλλ^{α} A: ἰσοσύλλαβαι V | ὁμόχρονοι A: μονόχρονοι V **2** καλός καλόν V: καλλὸς καλλὸν A **4** ἰχθύν Lentz 416.1: ἰχθῦν AV | ὀξύνεται Lentz 416.1: παροξύνεται AV **5** ἐπεὶ V (coni. Dindorf praef. vi): ἐπὶ A

53. Αἱ εἰς -ω αἰτιατικαὶ ⟨ἀπὸ τῶν⟩ εἰς -α πᾶσαι πεπόνθασιν. ἡ μὲν γὰρ *Ἀπόλλω* καὶ *Ποσειδῶ* καὶ *κυκεῶ* καὶ αἱ παραπλήσιοι ἀποκοπεῖσαι οὐκ ἤμειψαν τῶν ὁλοκλήρων τὸν τόνον. ἡ δὲ *ἠῶ* καὶ

1–49,11 Αἱ ... περισπᾶται] Herodiani vestigia pressit Choer. I in p. 383.18 Αἱ εἰς -ω λήγουσαι αἰτιατικαὶ κατὰ ἀποκοπὴν μὲν οὖσαι τὸν τόνον τῆς ἀπαθοῦς λέξεως φυλάττουσιν, οἷον Ἀπόλλωνα Ἀπόλλω, ἥρωα ἥρω, Μίνωα Μίνω, Ποσειδῶνα Ποσειδῶ, κυκεῶνα κυκεῶ, ἱδρῶτα ἱδρῶ, (Χ 2) ἱδρῶ ἀπεψύχοντο, ἰχῶρα ἰχῶ, (Ε 416) καὶ ⟨ἀμφοτέρῃσιν⟩ ἀπ' ἰχῶ χειρὸς ὠμόργνυ (ἰχώρ δέ ἐστι τὸ μεταβεβλημένον αἷμα)· εἰ δὲ μὴ εἰσὶ κατὰ ἀποκοπήν, ἀπὸ μὲν τῶν εἰς -ω θηλυκῶν οὖσαι ὀξύνονται, οἷον ἡ Σαπφώ τὴν Σαπφώ, ἡ Ἐρατώ τὴν Ἐρατώ, ἡ Καλυψώ τὴν Καλυψώ, ἡ Κλειώ τὴν Κλειώ, ἀπὸ δὲ τῶν εἰς -ως θηλυκῶν οὖσαι περισπῶνται, οἷον ἡ αἰδώς τὴν αἰδῶ, (Ο 561) καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ, ἡ ἠώς τὴν ἠῶ, (Ι 662) καὶ ἠῶ δῖαν ἔμιμνεν· ὤφειλον δὲ καὶ τὰ ἀπὸ τῶν εἰς -ω θηλυκῶν περισπᾶσθαι κατὰ τὴν αἰτιατικὴν τῷ λόγῳ τῆς συναιρέσεως τῆς ἀπὸ ὀξείας καὶ βαρείας, ὡς ἐν τοῖς εἰς -ω θηλυκοῖς μεμαθήκαμεν ἐν τῇ διδασκαλίᾳ τῆς Σαπφώ αἰτιατικῆς· ἀλλὰ διὰ τὴν ὁμοφωνίαν τὴν πρὸς τὴν εὐθεῖαν ὠξύνθησαν, ὡς ἐκεῖσε μεμαθήκαμεν; de ἠῶ/αἰδῶ et Λητώ/similibus vid. praeter Choer. etiam Hrd. ap. sch. B 262b {τά τ'} αἰδῶ {ἀμφικαλύπτει}: Ἀρίσταρχος περισπωμένως ἀναγινώσκει, ὁμοίως καὶ τὸ «ἠῶ δῖαν ἔμιμνε» (Ι 662). καὶ ἡμεῖς δὲ αὐτῷ συγκατατιθέμεθα. Διονύσιος δὲ ὁ Σιδώνιος ὀξύνει. Πάμφιλος δὲ πάσας τὰς τοιαύτας αἰτιατικὰς περισπᾷ, «Λητῶ γὰρ ἥλκησε» (λ 580) καὶ «Πυθῶ δ' ἐρχομένην» (λ 581). ἐπεί, φησί, Λητόα ἐστὶ καὶ Πυθόα. Διονύσιος δὲ ὁ Θρᾷξ (fr. 4 Linke) φησι κακῶς ἀνεγνωκέναι τὸν Ἀρίσταρχον κατὰ τὸν περισπώμενον τόνον τὸ μὲν αἰδῶ καὶ ἠῶ, τὰ δὲ ἄλλα κατ' ὀξεῖαν τάσιν, Πυθώ, Λητώ· ἐχρῆν γάρ, φησίν, ὁμοίως ἀνεγνωκέναι. οὐκ εὖ δὲ μέμφεται τῷ Ἀριστάρχῳ, εἴ γε ἤδη διάφοροι αἱ εὐθεῖαι, ἠώς αἰδώς, Λητώ δὲ καὶ Πυθώ. ἔστιν οὖν λόγος ὑπὲρ τῆς Ἀρισταρχείου ἀναγνώσεως καὶ τῆς κατεγνωσμένης προσῳδίας οὗτος ὅτι ἐχρῆν μὲν τὸ Πυθώ περισπᾶσθαι, ἐπειδήπερ Πυθόα ἐστί, καὶ τοῦτο ἀπῄτει ἡ συναλιφή· ἀλλὰ πάλιν τὸ πτωτικὸν ω ἀπέστραπται τὸν περισπώμενον τόνον· κατὰ τοῦτο ὠξύνετο. ταύτῃ γοῦν καὶ τοῦ χρυσοῦς περισπωμένου τὸ δυϊκὸν ὀξυνοῦμεν. οὕτως ἀποδείκνυται ὅτι καὶ ἡ καλῷ δοτικὴ εἰς -ι λήγει καὶ οὐκ εἰς -ω. δεύτερος δὲ λόγος ἀληθής ἐστιν ὡς εὐθεῖα καὶ αἰτιατικὴ ὁμόφωνος οὖσα κατὰ φωνὴν ἐν τῷ αὐτῷ ἀριθμῷ πάντως καὶ τὸν αὐτὸν τόνον ἐπιφέρεται, οἱ ταχεῖς τοὺς ταχεῖς. εἰ δὲ ἡ εὐθεῖα ὀξύνεται, πάντως καὶ ἡ αἰτιατική. διὰ τοῦτο οὖν ἡ μὲν αἰδῶ αἰτιατικὴ καὶ ἠῶ, μὴ κρατούμεναι ὑπὸ τῆς συνεμπτώσεως κατὰ τὴν εὐθεῖαν, περισπῶνται, κατεχόμεναι τῷ λόγῳ τῆς συναλιφῆς, οὐχ ὑπὸ τοῦ πτωτικοῦ χαρακτῆρος. ἡ δὲ Λητώ καὶ Πυθώ, καθάπερ κατεχόμεναι ὑπὸ τῆς συνεμπτώσεως τῆς φωνῆς, κατέχονται καὶ τῷ τόνῳ, vid. et locos quos Erbse ibi congerit

1 ἀπὸ τῶν addidi (scil. αἰτιατικῶν): ἀπὸ ἐντελῶν add. Lentz 416.9, sed haec notio facile subauditur | -α Dindorf quasi ex A: η AV **2** Ἀπόλλω Dindorf praef. vi ex Choer. I 383.19: ἀπολλῶ AV **3** ἀποκοπεῖσαι Dindorf quasi ex A: ἀποκοπῆσαι AV | ὁλοκλήρων V: ὀλ- A

αἰδῶ συνῄρηνται ἀπὸ τῆς *ἠόα* καὶ *αἰδόα*, ὅθεν περισπῶνται. ἀλλὰ καὶ τὴν *Λητώ* καὶ τὴν *Ἐρατώ* καὶ *Κλειώ* καὶ τὰς παραπλησίους, ἀπὸ τῶν εἰς *-ω* εὐθειῶν τῆς *Λητώ*, *Κλειώ*, *Ἐρατώ*, συνῃρημένας ἀπὸ τῆς *Λητόα*, *Κλειόα*, *Ἐρατόα*, δέον περισπᾶν ὀξύνομεν διὰ
5 τὴν συνέμπτωσιν τῆς εὐθείας. ὅτε γὰρ πτῶσις ἑτέρᾳ πτώσει συνεμπέσῃ κατὰ τὸν αὐτὸν ἀριθμόν, πάντως καὶ ὁμοτονεῖ· διὰ τοῦτο καὶ *οἱ Δημοσθένεις*, *οἱ εὐσεβεῖς* καὶ *τοὺς Δημοσθένεις* καὶ ⟨*τοὺς*⟩ *εὐσεβεῖς*, *οἱ ἰχθῦς* καὶ *τοὺς ἰχθῦς*. πρόσκειται «κατὰ τὸν αὐτὸν ἀριθμόν» διὰ τὸ *τῆς φοβερᾶς* καὶ *τὰς φοβεράς*·
10 ὀξύνεται γὰρ ἡ πληθυντικὴ αἰτιατική, ἡ δὲ ⟨ἑνικὴ⟩ γενικὴ περισπᾶται.

54. Πᾶσα κλητικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς ἂν καὶ ἡ εὐθεῖα, χωρὶς ὧν μέλλομεν προσδιορίζεσθαι· οἷον *Ὅμηρος Ὅμηρε*, *καλός καλέ*, *εὐσεβής εὐσεβές*, *Χρύσης*
15 *Χρύση*, *πανταπώλης πανταπῶλα*, *βασιλεύς βασιλεῦ*. ἀλλ' ἐπὶ τῶν εἰς *-ευς* εὐθειῶν ὀξυνομένων αἱ κλητικαὶ περισπῶνται. καθόλου γὰρ ἡ διὰ τοῦ *-υ* δίφθογγος καταλήγουσα ἀπέστραπται τὴν ὀξεῖαν τάσιν· ἔνθεν σημειούμεθα τὴν *οὔ* ἀπόφασιν καὶ *ἰδού* δεικτικὸν καὶ *ἰού* σχετλιαστικὸν ἐπίρρημα, περὶ ὧν ἐν ἄλλοις ἀπολογού-

12–50,7 Πᾶσα…Ἑρμῇ] cf. Theod. I 38.12 Πᾶσα κλητικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ εὐθεῖα, Αἴας Αἶαν, Ἀχιλλεύς Ἀχιλλεῦ, καλός καλέ, εὐγενής εὐγενές, Λειώδης Λειῶδες, ποιητής ποιητά· σεσημείωται τὸ δέσποτα μητίετα ἀκάκητα εὐρύοπα ἆνερ πάτερ σῶτερ δᾶερ, ἀναβιβάζουσι δὲ τὸν τόνον ἐπὶ κλητικῆς; quae interpretatus est Choer. I 384.8–14; 386.29–389.6; 390.13 Τὸ δὲ δέσποτα ἀκάκητα μητίετα εὐρύοπα ἐσημειωσάμεθα, ἐπειδὴ ταῦτα κλητικὰ ὄντα προπαροξύνονται, τῆς εὐθείας παροξυνομένης, ὁ ἀκακήτης γὰρ (ὁ μὴ ἔχων κακίαν) καὶ ὁ μητιέτης καὶ ὁ εὐρυόπης καὶ ὁ δεσπότης ἐστὶν ἡ εὐθεῖα usque ad 392.26; e Choerobosco pendet Ep. Hom. μ 21 … καὶ ὤφειλεν εἶναι μητιέτα ἀπὸ τῆς μητιέτης εὐθείας…; de μητίετα, εὐρύοπα, δέσποτα, vid. etiam Hrd. ap. sch. A 175d ⟨μητίετα⟩: οὕτως Ἀρίσταρχος τρίτην ἀπὸ τέλους ποιεῖ τὴν ὀξεῖαν… vid. et testim. ab Erbse indicata **18–50,1** ἔνθεν…ἀπολογούμεθα] vid. infra §§ **106**, **145**, **202**; excusationem Herodianeam servat Ep. Hom. α 248 (vid. ad § **145**); vid. etiam Choer. I 387.31 sqq.

1 ὅθεν A: ὅθεν καὶ V **4** δέον V: δεὸν A **5** συνέμπτωσιν Dindorf: συνεμπίπτωσιν AV | εὐθείας V: εὐθεῖας A **8** τοὺς[1] add. Lentz 417.6 **10** ἑνικὴ addidi **10–11** περισπᾶται A: πληθυντικὴ V **12** ante Πᾶσα κλητικὴ tit. περὶ κλητικῆς praebet V **16** -ευς Lentz 417.24: ας AV **17** δίφθογγος per compend. in AV (recte interpretatus est Lentz 417.25; διφθόγγου Dindorf, perperam) **18** οὔ A: ου V

μεθα. ἔτι ὁμοτονεῖ *βότρυς ὦ βότρυ*, *ταχύς ὦ ταχύ*, *Ἄδωνις ὦ Ἄδωνι*, *πόλις ὦ πόλι*, *δελφίς ὦ δελφίν*, *Λειώδης ὦ Λειῶδες*, *ξιφήρης ὦ ξιφῆρες*, *Αἰνείας ὦ Αἰνεία*, *Αἴας ὦ Αἶαν*, *ποιητής ὦ ποιητά*, *σοφιστής ὦ σοφιστά*, *τοξότης ὦ τοξότα*. ἐν τοῖς εἰς *-ης* βαρυτόνοις τέσσαρα σεσημείωται ἀναβιβά- 5
σαντα τὸν τόνον· *δέσποτα*, *εὐρύοπα*, *μητίετα*, *ἀκάκητα*. ἔτι ὁμοτονεῖ *ἄρσην ὦ ἄρσεν*, *λιμήν ὦ λιμήν*, *Ἑρμῆς ὦ Ἑρμῆ*.

55. Αἱ εἰς *-ω* λήγουσαι εὐθεῖαι θηλυκαὶ καὶ ἔτι αἱ εἰς *-ως*, *Λητώ*, *Κλειώ*, *αἰδώς*, *ἠώς*, εἰς *-οι* ἔχουσι τὰς κλητικὰς περισπωμένας· περισπῶνται δὲ διὰ τὴν συνέμπτωσιν τῆς δοτικῆς. 10

56. Αὗται μὲν οὖν αἱ κλητικαὶ ἐπὶ τῆς αὐτῆς συλλαβῆς τῆς εὐθείας τὸν τόνον ἐφύλαξαν. αἱ δὲ ἀναβιβάσασαί εἰσιν ἀπὸ τῶν εἰς *-ης* συνθέτων βαρυτόνων καὶ εἰς *-ους* ἐχόντων τὴν γενικήν· *Δημόσθενες*, *Σώκρατες*, *Διόμηδες*. τὸ γὰρ *ξιφῆρες* καὶ *φρενῆρες* καὶ τὰ διὰ τοῦ *-ηρης* πάντα καὶ τὰ διὰ τοῦ *-ωλης* ἁπλᾶ ἐστι καὶ οὐ 15
σύνθετα, ὅθεν οὐκ ἀναβιβάζει τὸν τόνον· *ἐξῶλες* γὰρ καὶ *πανῶλες* προπερισπωμένως. τὸ *αὔταρκες* καὶ *αὔθαδες* φησὶν ὁ Ἡρωδιανὸς μὴ ἔχον ἀφορμὴν προπαροξύνεσθαι.

8–10 Αἱ…δοτικῆς] cf. Choer. I 396.9 δεῖ γινώσκειν, ὅτι τὰ εἰς -ω θηλυκά, ἐὰν μὲν ἔχωσι τὴν κλητικὴν εἰς -ω, ὀξύνονται κατὰ τὴν κλητικὴν ὁμοίως τῇ εὐθείᾳ, οἷον ἡ Ἐρατώ ὦ Ἐρατώ ... ἐὰν δὲ εἰς τὴν -οι δίφθογγον ἔχωσι τὴν κλητικήν, περισπῶνται κατὰ τὴν κλητικὴν ὁμοίως τῇ δοτικῇ, οἷον τῇ Λητοῖ ὦ Λητοῖ, (Φ 498) Λητοῖ, ἐγὼ δέ τοι οὔτι μαχήσομαι· ἔχομεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι πᾶσα πτῶσις ὁμοφωνοῦσα ἑτέρᾳ πτώσει. κατὰ τὸν αὐτὸν ἀριθμὸν καὶ τὸν αὐτὸν ἐπιδέχεται τόνον **12–18** αἱ…προπαροξύνεσθαι] cf. Theod. I 38.16 Καὶ ἀναβιβάζουσι δὲ τὸν τόνον ἐπὶ τῆς κλητικῆς καὶ τὰ εἰς -ης σύνθετα κύρια, Διόμηδες Ἀριστόφανες καὶ τὰ παρ' οὐδετέρων ἐσχηματισμένα εἰς -ης, εὔμηκες κακόηθες· παραλόγως γὰρ ἐβαρύνθη τὸ αὔθαδες αὔταρκες κάταντες; Choer. I 392.27–394.7; de αὔταρκες vid. etiam Ep. ad A 121[2] l. 80, unde Et. Gud. 471.42 unde EM 678.10; de αὔθαδες vid. etiam Eclog. 427.9 ἔστιν δὲ αὐτοῦ ἡ κλητικὴ αὐθᾶδες, παραλόγως δὲ αὔθαδες

2 δελφίν scripsi: δελφί AV **3** Αἰνεία Lentz 418.1: αἰνεῖα AV **4** ὦ[1] A: om. V | ὦ[2] A: om. V **5** ὦ A: om. V | -ης scripsi: της AV **5–6** σεσημείωται ἀναβιβάσαντα A (σεσ^η per compend.): σεσημειωμένα ἀνεβίβασαν V **6** εὐρύοπα Dindorf praef. vi coll. Choer. I 389.7 et 390.13: εὔρυτα AV **7** ἄρσην Dindorf quasi ex A: ἄρσεν AV **9** ἔχουσι A[a.c.]V: ἔχουσαι A[p.c.] **10** συνέμπτωσιν Dindorf: συνεμπίπτωσιν AV **11–12** τῆς εὐθείας] ταῖς εὐθείαις Bloch **15** -ωλης Lentz 418.16: ωδες AV | ἁπλᾶ Dindorf quasi ex A: ἁπλὰ AV **16** ἀναβιβάζει scripsi: ἀναβιβάζουσι AV **18** ἔχον scripsi: ἔχειν AV; cf. Lentz praef. clxxxv

57. Πᾶσα κλητικὴ εἰς -ρ μετὰ βραχείας βαρύνεται· *Ἕκτορ, Νέστορ, Μέντορ.* ἔνθεν τὸ *ἄνερ, σῶτερ, πάτερ, δᾶερ,* ἐβαρύνθησαν.

58. Αἱ εἰς -ηρ εὐθεῖαι ὑπὲρ δύο συλλαβὰς βαρύτονοι ἀναπέμπουσι
5 τὸν τόνον ἐν τῇ κλητικῇ· *θύγατερ, εἴνατερ, Δήμητερ, αἰνό-*

1–3 Πᾶσα…ἐβαρύνθησαν] canon generalis in § **118** legitur ⟨μη⟩δεμιᾶς λέξεως εἰς -ρ ληγούσης μετὰ βραχείας [καὶ] ὀξυνομένης; Ap. Dysc. coniun. 241.11 τὰ εἰς -ρ λήγοντα μετὰ βραχείας μόρια βαρύτονά ἐστι, καὶ διὰ τοῦτο τοῦ πατήρ ἡ κλητικὴ ἐβαρύνθη ἐν τῷ πάτερ καὶ τοῖς παραπλησίοις; Tyrann. fr. 3 (=Ep. Hom. α 294) … οὐδὲν εἰς -ρ λῆγον ὑπὲρ μίαν συλλαβὴν βραχυκατάληκτον ὀξύνεται … τὸ πατήρ, ὅτε συστέλλεται ἐπὶ τέλους βαρύνεται, πάτερ· ὁμοίως ἀνήρ ἄνερ, δαήρ δᾶερ…; Choer. I 389.8–390.12, praesertim in p. 390.4 Ἰστέον δὲ ὅτι τὸ ἄνερ πάτερ σῶτερ δᾶερ, συστείλαντα τὸ η εἰς τὸ ε ἐν τῇ κλητικῇ, εὐλόγως ἐβαρύνθησαν· τὰ γὰρ εἰς -ρ λήγοντα βραχυκατάληκτα ὑπὲρ μίαν συλλαβὴν ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, χωρὶς …; id. Ep. Ps. 8.25 σεσημείωται τὸ ἄνερ, πάτερ, σῶτερ, δᾶερ, ἀναβιβάζοντα τὸν τόνον ἐπὶ τῆς κλητικῆς. Καὶ διατί σεσημείωται; Διότι κανὼν ἐστιν ὁ λέγων, ὅτι τὰ εἰς Ρ βραχυκατάληκτα ὑπὲρ μίαν συλλαβὴν ἀποστρέφονται (ex ἀναστρέφονται correxi) τὴν ὀξεῖαν τάσιν, πλὴν … ; Theodosius de causa cur ἄνερ, πάτερ etc barytona sint prorsus tacet: I 38.12, Πᾶσα κλητικὴ ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ εὐθεῖα … σεσημείωται τὸ … ἄνερ (codicum CF scripturam recepi: ἆνερ MBb Hilgard, sed cf. Theod. I 18.3) πάτερ σῶτερ δᾶερ, ἀναβιβάζουσι δὲ τὸν τόνον ἐπὶ κλητικῆς; ibid. 18.3; Eust. Od. I 15.36 Δῆλον δὲ ὅτι καθὰ τὸ ἄνερ, οὕτω καὶ τὸ πάτερ μὴ ὀξυνόμενα ὁμοίως ταῖς αὐτῶν εὐθείαις, ἀπὸ Αἰολίδος διαλέκτου ἐμμεμενήκασιν, εἰπεῖν καθ' Ἡρωδιανόν. εἰκὸς δὲ καὶ τὸ σῶτερ τούτοις συνεκδραμεῖν Αἰολικώτερον; speciatim de vocativis in -ορ desinentibus disputat Choer. I 394.17 Δεῖ ⟨δὲ⟩ γινώσκειν, ὅτι αἱ εἰς -ορ περατούμεναι κλητικαὶ ἐν ταύτῃ τῇ συλλαβῇ φυλάττουσι τὸν τόνον ἐν ᾗ συλλαβῇ ἔχει αὐτὸν καὶ ἡ εὐθεῖα· καὶ εἰ μὲν παραλήγονται φύσει μακρᾷ, προπερισπῶνται, οἷον ὁ Πολυμήστωρ ὦ Πολυμῆστορ, ὁ Ἀδμήτωρ ὦ Ἀδμῆτορ, ὁ οἰκήτωρ ὦ οἰκῆτορ· εἰ δὲ μὴ παραλήγονται φύσει μακρᾷ, παροξύνονται, οἷον ὁ Νέστωρ ὦ Νέστορ, ὁ Ἕκτωρ ὦ Ἕκτορ· οὕτως οὖν καὶ ὁ παντοκράτωρ ὦ παντοκράτορ ὁμοτόνως τῇ εὐθείᾳ **4–52,2** Αἱ…προπεριεσπάσθη] Theod. I 38.19 καὶ τὰ εἰς -ηρ βαρύτονα (scil. ἀναβιβάζουσιν τὸν τόνον ἐπὶ τῆς κλητικῆς) ὅταν εἰς -ερ ἔχωσι τὴν κλητικήν, Δήμητερ θύγατερ εἴνατερ; Choer. I 394.8 Καὶ τὰ εἰς -ηρ δὲ παροξύτονα, ὅταν ἔχωσι τὴν κλητικὴν εἰς -ερ, προπαροξύνονται κατὰ τὴν κλητικήν, δηλονότι ὑπὲρ δύο συλλαβὰς ὄντα, οἷον θυγάτηρ θύγατερ, Δημήτηρ Δήμητερ, εἰνάτηρ εἴνατερ· πρόσκειται «ὑπὲρ δύο συλλαβὰς ὄντα» διὰ τὸ μήτηρ μῆτερ· τοῦτο γὰρ οὐ προπαροξύνεται κατὰ τὴν κλητικήν, ἀλλ' οὐκ ἔστιν ὑπὲρ δύο συλλαβάς. Ἰστέον δὲ ὅτι πταίουσιν οἱ λέγοντες ὦ παντόκρατορ κατὰ τὴν κλητικὴν προπαροξυτόνως· δέον γὰρ ὁμοτόνως τῇ εὐθείᾳ λέγειν παροξυτόνως,

2 δᾶερ Dindorf praef. vii coll. Choer. I 390.9: δάερ AV

πατερ. τὸ *κυβερνᾶτερ* ἀπὸ ὀξυτόνου τοῦ *κυβερνατήρ* γενόμενον προπεριεσπάσθη.

59. Αἱ ἀπὸ τῶν εἰς -*ων* εὐθειῶν ἁπλῶν κλητικαὶ ἐπὶ τῆς αὐτῆς συλλαβῆς τῆς εὐθείας τὸν τόνον φυλάττουσι· *πέπων πέπον*, *δαίμων δαῖμον*, *Ἀρετάων Ἀρεταον*. εἰ μέντοι σύνθετοι εἶεν, 5

οἷον ὦ παντοκράτορ· οὐ γάρ ἐστι τοῦτο εἰς -ηρ, ἵνα ἀναβιβάσῃ τὸν τόνον ἐν τῇ κλητικῇ καὶ προπαροξυνθῇ

3–5 Αἱ…Ἀρεταον] canon de simplicibus Herodianeus subest in sch. Γ 182b (Hrd.) ὀλβιόδαιμον: προπαροξυτόνως· ἔστι γὰρ σύνθετον. τὰ δὲ μακρᾷ παραληγόμενα βαρύτονα, ἔχοντα κλητικὴν εἰς -ον περατουμένην, προπερισπᾶται ἁπλᾶ ὄντα, «Μαχᾶον» (Ξ 3) Ἀρετᾶον (cf. Ζ 31) …; Theodosius nihil de hac re praecipit; Choer. I 394.35 πρόσκειται «σύνθετα» διὰ τὸ ὦ Ἱκετᾶον καὶ ὦ Ἀρετᾶον καὶ ὦ Μαχᾶον· ταῦτα γὰρ οὐ προπαροξύνονται κατὰ τὴν κλητικὴν ἀλλὰ προπερισπῶνται, ὑπὲρ δύο συλλαβὰς ὄντα καὶ εἰς -ον διὰ τοῦ ο, ἀλλ' οὐκ εἰσὶ σύνθετα ἀλλ' ἁπλᾶ unde Ep. Hom. α 94 (ll. 16–8), unde Et. Gud. 173. 14–6 Stef. (vid. et locos a de Stefani allatos) **5–53,5** εἰ…τόνον] canon de compositis Herodianeus ap. sch. Γ 182b … σύνθετα μέντοι ὄντα ἀναδίδωσι τὸν τόνον, «κυλλοπόδιον» (Φ 331) «Ποσείδαον» (Ξ 357 al.) ὀλβιόδαιμον. καὶ ἐπὶ τῶν ἄλλων δὲ συνθέτων τὸ αὐτό, λέγω δὲ τὸ «Αὐτόμεδον» (Ρ 469) καὶ «Ἀγάμεμνον» (Β 362 al.)· ταῦτα γὰρ πάλιν τὸν τόνον ἀνεβίβασε κατὰ κλητικήν, ἐπεὶ σύνθετα ἦν. τὰ μέντοι παρὰ τὸ φρήν συντιθέμενα ἐφύλαξε τὸν τόνον, Λυκόφρον (cf. Ο 430) «δαΐφρον» (Δ 93). ὅθεν σημειῶδες ἐκεῖνο κατὰ κλητικὴν «ἰὼ Λακεδαῖμον» Ἀριστοφάνης Ὁλκάσι (fr. 420 K.–A.), καὶ εἰ σύνθετον τὸ «ψευδόμεναί σε Παλαῖμον» (Call. fr. 787 Pf.) (vid. et locos ab Erbse ibi allatos); Hrd. ap. sch. Α 149c κερδαλεόφρον: παροξυτόνως ἡ κλητική. καὶ καθόλου τὰ παρὰ τὸ φρήν συντεθέντα, εἰς -ων καταλήξαντα, ἐπὶ κλητικῆς παροξύνεται, Λυκόφρον, «καρτερόθυμε δαΐφρον» (Ε 277). τὰ δὲ ἄλλα ἐπὶ κλητικῆς ἀναδίδωσι τὸν τόνον, ὁπότε ἐστὶ σύνθετα εἰς -ον βαρύτονα, «Ἀγάμεμνον» (Β 362 al.), «ὀλβιόδαιμον» (Γ 182), «κυλλοπόδιον» (Φ 331), «Ποσείδαον» (Υ 115 al.). ἔνθεν παράλογος ἡ Λακεδαῖμον προπερισπωμένη κλητική; Hrd. ap. sch. Φ 331a et d (de κυλλοπόδιον); Theod. I 38.20 καὶ τὰ εἰς -ων σύνθετα ὅταν εἰς -ον εἴη ἡ κλητικὴ ἀναβιβάζει τὸν τόνον, πλὴν τῶν παρὰ τὸ φρήν, Ἀγάμεμνον κακόδαιμον χαμαίλεον· δαΐφρον δὲ καὶ περίφρον παροξυτόνως· παρὰ γὰρ τὸ φρήν. Σεσημείωται τὸ ὦ Λακεδαῖμον προπερισπώμενον; Choer. I 394.24–8 et 395.1–7, unde Ep. Hom. α 94, ll. 4–28; Et. Gud. 172.12—173.25 Stef. (vid. et locos a de Stefani allatos); ex Choer. pendent etiam Ep. Hom. λ 15, ο 64 (vid. et locos a Dyck allatos); Choer. I 395.15–23 (de βελτίων/ ὦ βέλτιον et similibus); Ioh. Alex. de accentu vocativi comparativorum in -ων (e.g. βελτίων/βέλτιον) desinentium prorsus tacet, vid. ad Lentz 420.1 et Ep. Hom. γ 6

1 κυβερνᾶτερ Dindorf quasi ex A: κυβερνάτερ AV **5** Ἀρετᾶον Dindorf praef. vii: ἀρετάον AV

ἀναβιβάζουσι τὸν τόνον, τουτέστι προπαροξύνονται· *εὔδαιμον*, *κυλλοπόδιον*, *Αὐτόμεδον*, *Ἀγάμεμνον*, *ὀλβιόδαιμον*. τὰ παρὰ τὸ *φρήν* οὐκ ἀνέδωκε τὸν τόνον, ἀλλ' ἐφύλαξεν ἐπὶ τῆς αὐτῆς· *δαΐφρον*, *Λυκόφρον*. σεσημείωται δὲ τὸ *ὦ Λακεδαῖμον* μὴ
5 ἀναπέμψαν τὸν τόνον.

1 ἀναβιβάζουσι V: ἀναβιβάζει A | προπαροξύνονται V: προπαροξ^ύ A
5 ἀναπέμψαν Dindorf quasi ex A: ἀναπέμψαντα AV

60. Πᾶσα εὐθεῖα δυϊκῶν εἰς -α λήγει ἢ εἰς -ε ἢ εἰς -ω. αἱ εἰς -ε λήγουσαι τῆς εἰς -α αἰτιατικῆς ἔχουσι τὸν τόνον, ὅτε ἐστὶ ῥητή· *Αἴαντα Αἴαντε, Πάριδα Πάριδε, ἄνδρα ἄνδρε, γυναῖκα γυναῖκε*. ἔνθεν πάλιν παρὰ τὸ *τινά* ὀξύνεται τὸ *τινέ*· «ξείνω δή τινε» (δ 26)· τὸ δὲ πυσματικὸν πάλιν βαρύνεται. ὅτε δὲ μή ἐστι ῥητὴ 5

1–55,5 Πᾶσα…δύο] Theod. I 39.6 Ἡ μὲν εἰς -ε λήγουσα εὐθεῖα τῶν δυϊκῶν ὁμότονός ἐστι τῇ αἰτιατικῇ τῶν ἑνικῶν τῇ εἰς -α ληγούσῃ, εἰ δὲ ἄλεκτος εἴη, τῇ γενικῇ· χεῖρε Αἴαντε, πόλεε δὲ καὶ βέλεε; Choer. I 396.16 Ἰστέον ὅτι αἱ εἰς -ε λήγουσαι εὐθεῖαι τῶν δυϊκῶν ὁμοτόνως ἔχουσι τῇ εἰς -α ληγούσῃ αἰτιατικῇ τῶν ἑνικῶν, οἷον ἀβλῆτα ἀβλῆτε, λιμένα λιμένε, γυναῖκα γυναῖκε, θυγατέρα θυγατέρε, χῆνα χῆνε, Αἴαντα Αἴαντε, λέβητα λέβητε, Ξενοφῶντα Ξενοφῶντε, Ποσειδῶνα Ποσειδῶνε, Ὀδυσσέα Ὀδυσσέε. Ἰστέον δὲ ὅτι ἡ εἰς -ε λήγουσα εὐθεῖα τῶν δυϊκῶν παροξυνομένη μὲν ἐν τῇ ἐντελείᾳ καὶ συναιρουμένη περισπᾶται, οἷον εὐγενέε εὐγενῆ, εὐσεβέε εὐσεβῆ· ἔχομεν γὰρ ἐν τοῖς προλαβοῦσιν, ὅτι ἡ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, ποιέω ποιῶ· προπαροξυνομένη δὲ ἐν τῇ ἐντελείᾳ καὶ συναιρουμένη παροξύνεται, οἷον Δημοσθένεε Δημοσθένη, Διομήδεε Διομήδη· ἔχομεν γάρ, ὅτι ἡ ὀξεῖα καὶ αἱ δύο βαρεῖαι εἰς ὀξεῖαν καὶ βαρεῖαν συνέρχονται ἤγουν συναιροῦνται, οἷον Δημοσθένεος Δημοσθένους, Διομήδεος Διομήδους, τείχεα τείχη· τὸ γὰρ ἔαρος ἦρος καὶ κέαρος κῆρος διὰ τὸ εἶναι φύσει μακρὰν πρὸ μιᾶς βραχείας προπεριεσπάσθησαν. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἡ εὐθεῖα τῶν δυϊκῶν τὼ πρέσβη παρὰ μὲν τοῖς ῥήτορσι βαρυτόνως ἀναγινώσκεται, ὡς ἀπὸ τοῦ πρέσβυς πρέσβεος πρέσβεε πρέσβη, παρὰ δὲ Ἀριστοφάνει περισπωμένως, (fr. 646 K.–A.) ἥκετον πρεσβῆ δύο, ὡς ἀπὸ ὀξυτόνου εὐθείας, οἷον ὡς ἀπὸ τοῦ ὁ πρεσβεύς τοῦ πρεσβέος τὼ πρεσβέε τὼ πρεσβῆ. Ταῦτα μὲν ἐν τούτοις. Προσέθηκε δὲ ὁ τεχνικὸς λέγων, ὅτι «εἰ δὲ ἄλεκτος εὑρεθῇ», τουτέστιν εἰ μὴ λέγεται εἰς -α ἡ αἰτιατικὴ τῶν ἑνικῶν, ὁμότονος γίνεται ἡ εἰς -ε λήγουσα εὐθεῖα τῶν δυϊκῶν τῇ γενικῇ τῶν ἑνικῶν, οἷον πόλεως πόλεε, μάντεως μάντεε, βέλεος βέλεε, τείχεος τείχεε· οὐδὲ γάρ ἐστιν ἐπὶ τούτων εἰς -α ἡ αἰτιατικὴ τῶν ἑνικῶν. Δεῖ προσθεῖναι «χωρὶς τῶν εἰς -ος ὀξυτόνων γενικῶν»· ἐπὶ τούτων γὰρ οὐχ ὁμοτονεῖ ἡ εἰς -ε λήγουσα εὐθεῖα τῶν δυϊκῶν τῇ γενικῇ τῶν ἑνικῶν, οἷον μυός μύε, συός σύε, δρυός δρύε, κιός κῖε (σημαίνει δὲ τὸν σκώληκα), λιός λῖε (σημαίνει δὲ τὸν λέοντα)· οὐδέποτε γὰρ ἡ εἰς -ε λήγουσα εὐθεῖα τῶν δυϊκῶν ὀξύνεται, ὡς δηλοῦσι τὰ προλεχθέντα παραδείγματα· τὸ γὰρ τίνε καὶ τινέ πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίνε, τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριστον ὀξύνεται, οἷον τινέ; de synaeresi duplicis -εε in terminatione dualis numeri apud Athenienses cf. Phot. α 1386 (ex Ael. Dion. sumptum) cum testim. a Theodoridis allatis

1 ante Πᾶσα…δυϊκῶν tit. περὶ δυϊκῶν praebet V | εὐθεῖα V: εὐθεία A | δυϊκῶν V: δ^υ A | λήγει Dindorf: λ^ή A: λήγουσα V | -ε² Lentz 420.5: α AV **4–5** ξείνω… τινε sic verba distinxit Lentz 420.8: ξεινώδη τινὲ AV

ἡ εἰς -*α* αἰτιατική, τότε τῇ ⟨εἰς⟩ -*ος* γενικῇ ὁμοτονεῖ τὸ δυϊκόν·
ταχέος ταχέε, πήχεος πήχεε. τὰ δύο -*εε* εἰς -*η* συναιροῦσιν
Ἀθηναῖοι· «ἐγὼ δέ τοι πεπόνηκα κομιδῇ τὼ σκέλη» (Ar. Pac. 820),
«⟨οὐκ ἐμοῦ κινοῦντος αὐτὼ τὼ σκέλη⟩ χορεύετον» (Ar. Pac. 325), «καὶ
5 πρός γε τούτοις ἥκετον πρεσβῆ δύο» (Ar. fr. 646 K.–A.).

1 εἰς[2] add. Bloch **3** δέ AV: γε codd. Aristophanis | τὼ A: τῷ V **4** οὐκ…σκέλη add. Dindorf praef. vii | χορεύετον Dindorf: χορεῦον AV **5** πρεσβῆ Dindorf praef. vii ex Choer. I 396.33: πρέσβη paroxytonon in AV

61. Τὰ εἰς -α λήγοντα δυϊκὰ ἀπὸ μὲν ὀξυτόνων ὀξύνεται, ἀπὸ δὲ περισπωμένων περισπᾶται. τοῦ μὲν πρώτου· *αἰχμητής αἰχμητά, λογιστής λογιστά*. τοῦ δὲ δευτέρου· *Ἑρμῆς Ἑρμᾶ, Ἀπελλῆς*

1–57,3 Τὰ…*Μηδεία*] ratione Herodiani, non Theodosii, nititur Choer. I in p. 397.29 Ἰστέον δὲ ὅτι ἡ εἰς -α λήγουσα εὐθεῖα τῶν δυϊκῶν ἀεὶ μακρὸν ἔχει τὸ -α, καὶ ἢ παροξύνεται ἢ ὀξύνεται ἢ περισπᾶται· οὐδέποτε γὰρ προπαροξύνεται ἢ προπερισπᾶται διὰ τὴν ἐπὶ τέλους φύσει μακράν· ὡς γὰρ ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, οὔτε πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη, οὔτε φύσει μακρᾶς τῆς ἐπὶ τέλους οὔσης προπαροξύνεται ἡ λέξις. Καὶ ἰστέον ὅτι εἰ μὲν παροξύνεται ἡ εἰς -α λήγουσα εὐθεῖα τῶν δυϊκῶν, τῇ γενικῇ τῶν ἑνικῶν συντονοῦται, οἷον Ἀτρείδου Ἀτρείδα, Ὀρέστου Ὀρέστα, θυέλλης θυέλλα, ἁμάξης ἁμάξα, εἰ δὲ ἐπὶ τέλους ἔχει τὸν τόνον ἡ εἰς -α λήγουσα εὐθεῖα τῶν δυϊκῶν, οὐκέτι τῇ γενικῇ τῶν ἑνικῶν συντονοῦται, ἀλλὰ τῇ εὐθείᾳ τῶν ἑνικῶν· καὶ εἰ μὲν ἡ εὐθεῖα τῶν ἑνικῶν ὀξύνεται, καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν ὀξύνεται, οἷον κριτής κριτά, ποιητής ποιητά, αὐλητής αὐλητά, εὑρετής εὑρετά, λῃστής λῃστά, εἰ δὲ περισπᾶται ἡ εὐθεῖα τῶν ἑνικῶν, καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν περισπᾶται, οἷον Μηνᾶς Μηνᾶ, Ἑρμῆς Ἑρμᾶ, Φιλητᾶς Φιλητᾶ, χρυσῆ χρυσᾶ, χαλκῆ χαλκᾶ; de Theodosio Choeroboscoque vid. etiam infra **1–57,7** Τὰ…φίλω] genetivus singularis, non nominativus singularis, norma rei est ap. Theod. I 39.8 ἡ δὲ εἰς -α καὶ εἰς -ω λήγουσα (scil. εὐθεῖα τῶν δυϊκῶν), ἐφ᾽ ἧς ἂν ἔχῃ συλλαβῆς ἡ γενικὴ τῶν ἑνικῶν τὸν τόνον, ἐπὶ ταύτης καὶ αὐτὴ ἔχει, Πέρσου Πέρσα, ἀέλλης ἀέλλα, ἵππου ἵππω; Theodosium sequitur Choer. I in parte 397.13 Ἡ δὲ εἰς -ω λήγουσα καὶ εἰς -α εὐθεῖα τῶν δυϊκῶν ἐν τῇ αὐτῇ συλλαβῇ ἔχει τὸν τόνον ἐν ᾗ καὶ ἡ γενικὴ τῶν ἑνικῶν, οἷον Ὁμήρου Ὁμήρω, ἀνθρώπου ἀνθρώπω, Ἀριστάρχου Ἀριστάρχω, ἀέλλης ἀέλλα, τραπέζης τραπέζα, ἁμάξης ἁμάξα, καλοῦ καλώ, σοφοῦ σοφώ· καὶ ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ ἔχουσι τὸν τόνον, οὐ τὸν αὐτὸν δὲ τόνον ἐπεδέξαντο· τὸ μὲν γὰρ καλοῦ καὶ σοφοῦ περισπᾶται, τὸ δὲ καλώ καὶ σοφώ ὀξύνεται· τὸ γὰρ -ω ἐν τοῖς δυϊκοῖς ἀποστρέφεται τὴν περισπωμένην τάσιν, οἷον σεμνώ ἀγαθώ κακώ σοφώ πτωχώ δειλώ. Ὅτι γὰρ τὸ -ω τὸ ἐν τοῖς δυϊκοῖς ἀποστρέφεται τὴν περισπωμένην τάσιν, δῆλον εἴγε τὸ μὲν οἵ καὶ τὸ τούς ὀξυνόμενα καὶ προσλαμβάνοντα τὴν τῆς δε συλλαβῆς ἔκτασιν προπερισπῶνται, οἷον οἷδε τοῦσδε, τῷ κανόνι τῷ λέγοντι, ὅτι πᾶσα φύσει μακρὰ πρὸ μιᾶς συλλαβῆς βραχείας ἐφ᾽ ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται, ἡ δὲ εὐθεῖα τῶν δυϊκῶν γενομένη κατ᾽ ἐπέκτασιν, οἷον τώδε [οἱ ἄνθρωποι], οὐ προπερισπᾶται ἀλλὰ παροξύνεται διὰ τὸ ⟨τὸ⟩ ω τὸ ἐν τοῖς δυϊκοῖς ἀποστρέφεσθαι τὴν περισπωμένην τάσιν, οἷον καλώ σοφώ; dualia in -ω terminata numquam perispomena sunt: cf. § **107**; Hrd. ap. sch. Ε 219a … καὶ τάχα ἐπεὶ οὐδὲν δυϊκὸν εἰς -ω λῆγον περισπᾶται … et ap. sch. Β 262b … ἀλλὰ πάλιν τὸ πτωτικὸν -ω ἀπέστραπται τὸν περισπώμενον τόνον…; Ap. Dysc. pron. 92.16 τὰ οὖν δυϊκὰ εἰς -ω λήγοντα οὐδέποτε περισπᾶται

1 Τὰ] cave Dindorfio credas δὲ post τὰ exstare in AV | ὀξύνεται scripsi: ὀξύνονται AV **2** περισπᾶται scripsi: περισπῶνται AV **3** τοῦ…δευτέρου V (coni. Dindorf): τὸ … δευτέρου A

Ἀπελλᾶ. ἀπὸ δὲ βαρυτόνων πρὸ μιᾶς ἔχει τὸν τόνον, κἂν ἡ εὐθεῖα προπαροξύνηται, διὰ τὸ μέγεθος τοῦ -α· τὸ γὰρ ἐν τοῖς δυϊκοῖς -α μακρόν ἐστιν· ὁ *Αἰνείας τὼ Αἰνεία*, ἡ *Μήδεια τὰ Μηδεία*.

62. Τὰ εἰς -ω λήγοντα δυϊκὰ ἢ ὀξύνεται ἢ βαρύνεται, ἀπέστραπται δὲ τὴν περισπωμένην. ὀξύνεται μὲν ἀπὸ περισπωμένων καὶ ὀξυνομένων· *χρυσοῦς χρυσώ*, *καλός καλώ*· πρὸ μιᾶς δὲ ἔχει τὸν τόνον τὰ ἀπὸ βαρυνομένων· *Ὅμηρος Ὁμήρω*, *φίλος φίλω*.

63. Αἱ γενικαὶ τῶν δυϊκῶν εἰς -αιν λήγουσι καὶ εἰς -οιν. Αἱ μὲν οὖν εἰς -αιν ἐκ τῶν ἰδίων εὐθειῶν κανονίζονται. εἰ μὲν γὰρ ὀξύνονται αἱ εὐθεῖαι ἢ περισπῶνται, πάντως αἱ γενικαὶ περισπῶνται· *καλά*

8–58,2 Αἱ[2]…Μούσαιν] doctrinam Herodianeam tradit Choer. I in p. 399.1 Ἔστι δὲ καὶ οὕτως εἰπεῖν περὶ τῆς εἰς -αιν ληγούσης γενικῆς τῶν δυϊκῶν· αἱ εἰς -αιν λήγουσαι γενικαὶ τῶν δυϊκῶν, ἀπὸ μὲν βαρυνομένων εὐθειῶν δυϊκῶν οὖσαι συμβαρύνονται αὐταῖς, οἷον Ἀτρείδα Ἀτρείδαιν, Ὀρέστα Ὀρέσταιν, συκοφάντα συκοφάνταιν, τοξότα τοξόταιν, πολίτα πολίταιν, τέχνα τέχναιν, κόρα κόραιν· ἀπὸ δὲ ὀξυνομένων ἢ περισπωμένων εὐθειῶν δυϊκῶν οὖσαι περισπῶνται, ἀπὸ μὲν ὀξυνομένων, οἷον κηδεστά κηδεσταῖν, ποιητά ποιηταῖν, αὐλητά αὐληταῖν, εὑρετά εὑρεταῖν, ληστά λησταῖν, κριτά κριταῖν, ὑβριστά ὑβρισταῖν, ἀπὸ δὲ περισπωμένων, οἷον Ἑρμᾶ Ἑρμαῖν, Ἀπελλᾶ Ἀπελλαῖν, Φιλητᾶ Φιληταῖν, χαλκᾶ χαλκαῖν, χρυσᾶ χρυσαῖν; generaliore regula utitur Theod. I 39.12 Ἡ μὲν εἰς -αιν γενικὴ καθόλου τῇ ἰδίᾳ εὐθείᾳ ἀκολουθεῖ, Ὀρέστα Ὀρέσταιν, κηδεστά κηδεσταῖν; Theodosium interpretatur Choer. I in 398.22 Ἰστέον ὅτι ἡ εἰς -αιν λήγουσα γενικὴ τῶν δυϊκῶν ἀκολουθεῖ τῇ ἰδίᾳ εὐθείᾳ, τουτέστιν ἐν τῇ αὐτῇ συλλαβῇ ἔχει τὸν τόνον ἐν ᾗ καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν, οἷον Πέρσα Πέρσαιν, Αἰνεία Αἰνείαιν, Παπία Παπίαιν, κοχλία κοχλίαιν, τοξότα τοξόταιν, οὐ πάντως δὲ τὸν αὐτόν· πρόσκειται «οὐ πάντως δὲ τὸν αὐτόν» διὰ τὸ ποιητά ποιηταῖν, καλά καλαῖν· τὸ μὲν γὰρ ποιητά καὶ καλά ὀξύνεται πρὸς τὴν εὐθεῖαν τῶν ἑνικῶν τὴν ποιητής καὶ καλή, τὸ δὲ ποιηταῖν καὶ καλαῖν περισπᾶται τῷ κανόνι τῷ λέγοντι, ὅτι πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐπ' ὀνομάτων, ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον, περισπωμένην δέχεται· τὸν δὲ κανόνα τοῦτον εἰρήκαμεν ἐν τῇ περὶ τῆς γενικῆς τῶν ἑνικῶν διδασκαλίᾳ, ἡνίκα περὶ τῆς ἰάς καὶ μιᾶς διελάβομεν· ὅμως δὲ ἐν τῇ αὐτῇ συλλαβῇ ἐφυλάχθη ὁ τόνος· τοῦ δὲ Πέρσα Πέρσαιν ἐν τῇ αὐτῇ συλλαβῇ ἐφυλάχθη ὁ τόνος καὶ ὁ αὐτός

1 ἔχει scripsi: ἔχουσι AV **3** ἐστιν V: ἐστι A | Μήδεια A: Μηδεία V **4** ὀξύνεται Dindorf: ὀξύ A: ὀξύνονται V | βαρύνεται Dindorf: βαρύ A: βαρύνονται V **5** ὀξύνεται Dindorf: ὀξύ A: ὀξύνονται V **6** ἔχει Dindorf: ἔχ A: ἔχουσι V **7** βαρυνομένων Dindorf: βαρύ A: βαρυτόνων V **8** ante Αἱ[1]…δυϊκῶν tit. περὶ τῆς γενικῆς τῶν δυικῶν praebet V | λήγουσι Dindorf: λή A: λήγουσαι V **9** ὀξύνονται V: ὁξύ (spiritu aspero) A **10** καλά V (dedit Dindorf quasi ex A): ἀλλὰ A

καλαῖν, ἀλλὰ καὶ *διπλᾶ διπλαῖν*. εἰ δὲ βαρύνονται, καὶ αἱ γενικαί· *φίλα φίλαιν*, *Μούσα Μούσαιν*.

64. Αἱ δὲ εἰς *-οιν* γενικαὶ ⟨εἰ⟩ ἀπὸ τῶν εἰς *-ω* γίνοιντο εὐθειῶν, βαρυνομένων μὲν συμβαρύνονται· *φίλω φίλοιν*· ὀξυνομένων δὲ περισπῶνται· *καλώ καλοῖν*. τὸ *ἀμφοῖν* καὶ *δυοῖν* οὐκ ἀκόλουθα τῷ *ἄμφω* καὶ *δύο* βαρυνομένοις. 5

3–6 Αἱ…βαρυνομένοις] doctrinam Herodianeam sequitur Choer. I in 400.6 Ἔστι δὲ καὶ οὕτως εἰπεῖν περὶ τῆς εἰς -οιν ληγούσης γενικῆς τῶν δυϊκῶν· αἱ εἰς -οιν λήγουσαι γενικαὶ τῶν δυϊκῶν ἀπὸ τῶν εἰς -ω ληγουσῶν δυϊκῶν εὐθειῶν πεπτωκυῖαι ἀπὸ μὲν βαρυτόνων συμβαρύνονται, οἷον φηγίνω φηγίνοιν, δακτύλω δακτύλοιν, ὁμωνύμω ὁμωνύμοιν, ἡμιόνω ἡμιόνοιν, ἀνθρώπω ἀνθρώποιν, Ὁμήρω Ὁμήροιν, Ἀριστάρχω Ἀριστάρχοιν—περὶ γὰρ τοῦ ἄμφω ἀμφοῖν καὶ δύο δυοῖν εἰρήκαμεν—, ἀπὸ δὲ ὀξυνομένων περισπῶνται, οἷον καλώ καλοῖν, σοφώ σοφοῖν, σεμνώ σεμνοῖν, ἀγαθώ ἀγαθοῖν, χαλεπώ χαλεποῖν, γεωργώ γεωργοῖν; generalius loquitur Theod. I 39.13 ἡ δὲ εἰς -οιν ἀπὸ μὲν τῶν εἰς -ω εὐθειῶν συντονοῦται τῇ ἰδίᾳ εὐθείᾳ, τοῖν γεωργοῖν, τοῖν βοϊδίοιν, σεσημειωμένου τοῦ ἀμφοῖν δυοῖν; quem interpretatur Choer. I in 399.27 Ἡ δὲ εἰς -οιν λήγουσα γενικὴ τῶν δυϊκῶν, ἀπὸ μὲν εὐθείας τῆς εἰς -ω ληγούσης οὖσα, ἐν τῇ αὐτῇ συλλαβῇ φυλάττει τὸν τόνον ἐν ᾗ καὶ ἡ εἰς -ω λήγουσα εὐθεῖα τῶν δυϊκῶν, οἷον καλλίστω καλλίστοιν, ἐρήμω ἐρήμοιν, ἀνθρώπω ἀνθρώποιν, ὤμω ὤμοιν, ἡμιόνω ἡμιόνοιν καὶ ποιητικῶς ἡμιόνοιϊν (ἀπὸ τοῦ ὄνω ὄνοιν), καλώ καλοῖν, σοφώ σοφοῖν· ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ ἐφύλαξαν τὸν τόνον, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ καλώ καὶ σοφώ ὀξύνεται πρὸς τὸν χαρακτῆρα τῶν εἰς -ω δυϊκῶν, τὸ δὲ καλοῖν καὶ σοφοῖν περισπᾶται τῷ κανόνι τῷ λέγοντι, ὅτι πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος ἐπ᾽ ὀνομάτων, ἐπὶ τῆς τελευταίας συλλαβῆς ἔχουσα τὸν τόνον, περισπωμένην δέχεται. Δεῖ προσθεῖναι τῷ ἀνωτέρω κανόνι «πλὴν τοῦ ἄμφω ἀμφοῖν καὶ δύο δυοῖν»· ταῦτα γὰρ οὐκ ἐφύλαξαν τὸν τόνον ἐν τῇ αὐτῇ συλλαβῇ, ἡ μὲν γὰρ εὐθεῖα τῶν δυϊκῶν βαρύνεται, ἡ δὲ γενικὴ περισπᾶται· τὸ δὲ δυοῖν γίνεται καὶ δυεῖν κατὰ τροπὴν τοῦ ο εἰς τὸ ε. Δυνάμεθα δὲ ταῦτα θεματικὰ λέγειν, φημὶ δὴ τὸ ἀμφοῖν καὶ δυοῖν, ὥσπερ καὶ τὴν εὐθεῖαν τῶν δυϊκῶν θεματικὴν λέγομεν, φημὶ δὴ τὸ ἄμφω καὶ δύο

1 διπλᾶ Dindorf quasi ex A: διπλὰ AV **2** Μούσα Dindorf quasi ex A: μοῦσα AV **3** εἰ add. Dindorf **6** τῷ V: τὼ A

65. Εἰ δὲ ἀπὸ τῶν εἰς -ε, ἀπὸ μὲν τῶν δισυλλάβων περισπῶνται· *χεῖρε χειροῖν*, *θῆρε θηροῖν*, *πόδε ποδοῖν*. πάλιν σημειωτέον τὸ *τίνοιν* πύσμα βαρυνόμενον ὡς πρὸς τὸ ἀόριστον περισπώμενον καὶ ἔτι τὸ *παίδοιν*, *Τρώοιν*, *πάντοιν* καὶ τὰ λοιπά, ἃ καὶ
5 κατὰ τὴν γενικὴν ⟨πληθυντικὴν⟩ σημειούμεθα ὡς βαρυνόμενα· ὧν καὶ αἱ γενικαὶ δυϊκαὶ ἐβαρύνθησαν. ἀπὸ δὲ τῶν ὑπὲρ δύο συλλαβὰς πρὸ μιᾶς ἔχουσι τὸν τόνον· *Αἴαντε Αἰάντοιν*, *Πάριδε Παρίδοιν*. εἰ δὲ συναλειφὴ παρακολουθήσῃ, καὶ αὗται περισπῶνται· *σκελέοιν σκελοῖν*, *Δημοσθενέοιν Δημοσθενοῖν*. κἀνταῦθα
10 *γυναικοῖν* καὶ *θυγατροῖν* σημειούσθωσαν παραλόγως περισπασθεῖσαι.

66. Πᾶσα εὐθεῖα πληθυντικὴ ἀρσενική τε καὶ θηλυκὴ εἰς -*ες* λήγει ἢ εἰς -*οι* ἢ εἰς -*αι* ἢ κατὰ συναίρεσιν εἰς -*εις*. αἱ μὲν οὖν εἰς -*ες* λήγου-

1–11 Εἰ…περισπασθεῖσαι] genetivus pluralis, non nominativus dualis, norma rei est ap. Theod. I 39.15 ἀπὸ δὲ τῶν εἰς -ε εὐθειῶν ἀκόλουθος ἔσται τῇ γενικῇ τῶν πληθυντικῶν, χεροῖν πάντοιν παίδοιν εὐμηκοῖν τειχοῖν εὐνοῖν; Choer. I 400.13 Εἰ δέ ἐστιν εἰς -οιν λήγουσα ἡ γενικὴ τῶν δυϊκῶν ἀπὸ τῆς εἰς -ε ληγούσης εὐθείας τῶν δυϊκῶν, ὁμοτονεῖ τῇ γενικῇ τῶν πληθυντικῶν· καὶ εἰ μὲν περισπᾶται ἡ γενικὴ τῶν πληθυντικῶν, περισπᾶται καὶ ἡ γενικὴ τῶν δυϊκῶν, οἷον ἀνδρῶν ἀνδροῖν, φωτῶν φωτοῖν (ἐπὶ τῶν ἀνδρῶν), βοῶν βοοῖν, χειρῶν χειροῖν, μηνῶν μηνοῖν, χηνῶν χηνοῖν, δρυῶν δρυοῖν, συῶν συοῖν, φρενῶν φρενοῖν, χθονῶν χθονοῖν, γυναικῶν γυναικοῖν, θυγατρῶν θυγατροῖν, τινῶν τινοῖν, Δημοσθενῶν Δημοσθενοῖν, τειχῶν τειχοῖν, βελῶν βελοῖν, Διομηδῶν Διομηδοῖν, Ἀριστοφανῶν Ἀριστοφανοῖν· εἰ δὲ βαρύνεται ἡ γενικὴ τῶν πληθυντικῶν, συμβαρύνεται καὶ ἡ γενικὴ τῶν δυϊκῶν, οἷον παίδων παίδοιν, πάντων πάντοιν, Αἰάντων Αἰάντοιν, Λαχήτων Λαχήτοιν, λεβήτων λεβήτοιν, πενήτων πενήτοιν, Παρίδων Παρίδοιν, Δημοσθενέων Δημοσθενέοιν, βελέων βελέοιν, τειχέων τειχέοιν, καὶ κατὰ κρᾶσιν Δημοσθενῶν Δημοσθενοῖν, βελῶν βελοῖν, τειχῶν τειχοῖν περισπωμένως· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται ἤγουν συναιροῦνται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, Ἡρακλέης Ἡρακλῆς **4–5** ἃ…βαρυνόμενα] vid. infra § **79** **9** κἀνταῦθα] cf. §§ **44**, **47**, **48** **13–60,5** αἱ…τίνες] eodem modo de accentu nominativorum pluralium in -ες desinentium praecipit Theod. I 39.19 Ἡ μὲν εἰς -ες εὐθεῖα τῶν πληθυντικῶν ὁμότονος ἔσται τῇ ὀρθῇ τῶν δυϊκῶν, Αἴαντες ἀβλῆτες μύες; Choer. I 401.6 Δεῖ γινώσκειν, ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς -ες λήγουσα βαρύνεσθαι θέλει, οἷον μῆνες χῆνες πάντες παῖδες Τρῶες χθόνες

3 τίνοιν Dindorf quasi ex A: τοίνυν AV | πρὸς A: πρὸ V **5** πληθυντικὴν add. Lentz 422.1 **6** δυϊκαὶ Lentz 422.1: δοτικαὶ AV **8** συναλειφὴ scripsi: συναλειφῇ AV (-αλειφ- constanter pro -αλοιφ- AV) **12** ante Πᾶσα…πληθυντικὴ tit. περὶ εὐθείας τῶν πληθυντικῶν praebet V | -ες Dindorf: εις AV | λήγει Dindorf: λή A: λήγουσαι V

σαι οὐδέποτε ὀξύνονται (*Πάριδες, μῆνες, Αἴαντες*), χωρὶς εἰ μὴ ἐκ πάθους εἶεν διὰ τὸ *βιοπλανές* («οἷοί τε βιοπλανὲς ἀγρὸν ἀπ' ἀγροῦ», Call. fr. 489.1 Pf.) καὶ *ἐπιτηδές* («ἐς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν», Α 142). ἔχουσι δὲ τῶν δυϊκῶν εὐθειῶν τὸν τόνον· *Πάριδε Πάριδες, τίνε τίνες.* 5

Αἴαντες Λάχητες Ξενοφῶντες Ποσειδῶνες· τὸ γὰρ τίνες καὶ τινές πρὸς διάφορον σημασίαν διάφορον ἔχει καὶ τὸν τόνον· τὸ μὲν γὰρ πευστικὸν βαρύνεται, οἷον τίνες εἰσίν; τὸ δὲ ἀνταποδοτικὸν ἤγουν ἀόριστον ὀξύνεται, οἷον τινές. Ἰστέον δὲ ὅτι πᾶσα εὐθεῖα πληθυντικῶν εἰς -ες λήγουσα ὁμότονός ἐστι τῇ εὐθείᾳ τῶν δυϊκῶν, οἷον μῆνε μῆνες, χῆνε χῆνες, πάντε πάντες, παῖδε παῖδες, Τρῶε Τρῶες, χεῖρε χεῖρες, χθόνε χθόνες, τίνε τίνες, Ἕκτορε Ἕκτορες, Αἴαντε Αἴαντες, λέβητε λέβητες, Πάριδε Πάριδες, γυναῖκε γυναῖκες, μητέρε μητέρες, θυγατέρε θυγατέρες. Τούτων οὖν οὕτως ἐχόντων, τὰ ἔχοντα σύμφωνον πρὸ τοῦ ε οὐ συναιροῦνται ... τὰ μέντοι καθαριεύοντα κρᾶσιν ἐπιδέχονται, καὶ εἰ μὲν προπαροξύνονται ἐν τῇ ἐντελείᾳ, ἐν τῇ συναιρέσει παροξύνονται, οἷον Δημοσθένεες Δημοσθένεις, Διομήδεες Διομήδεις, εὐμήκεες εὐμήκεις παροξυτόνως ... εἰ δὲ παροξύνονται ἐν τῇ ἐντελείᾳ, ἐν τῇ συναιρέσει περισπῶνται, οἷον εὐγενέες εὐγενεῖς, εὐσεβέες εὐσεβεῖς, εὐτυχέες εὐτυχεῖς περισπωμένως ... καὶ πάλιν ἐστὶν ἐπιτηδέες καὶ κατὰ κρᾶσιν ἐπιτηδεῖς καὶ βιοπλανέες καὶ κατὰ κρᾶσιν βιοπλανεῖς, καὶ λοιπὸν κατὰ ἀποβολὴν τοῦ ι γίνεται ἐπιτηδές καὶ βιοπλανές, ὡς παρὰ Καλλιμάχῳ (fr. 489.1–2 Pf.) οἵτε βιοπλανὲς ἀγρὸν ἀπ' ἀγροῦ Φοιτῶσιν, καὶ παρὰ τῷ ποιητῇ, (Α 142) ἐς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν· ἔστι δὲ αὕτη ἡ χρῆσις αἰτιατικὴ ἀπὸ τοῦ ἐπιτηδεῖς, καὶ κατὰ ἀποβολὴν τοῦ ι ἐπιτηδές; fallitur Ioh. Alex. nominativum ἐπιτηδές per exemplum illustrans ubi ἐπιτηδές accusativus est; de ἐπιτηδές vid. etiam sch. Α 141–4 ... τὸ δὲ *ἐπιτηδές* (142) ὀξυντέον ('fort. sch. Herodiani, ad Η 100' Erbse ad loc.), et quos Erbse affert locos; sch. Α 142c ἐπιτηδές: τὸ ἐπιτηδές ὀξυντέον· ἀπὸ τοῦ ἐπιτηδεῖς γάρ...; Ap. Dysc. pron. 93.7 τὰ πτωτικὰ ἀπέστραπται τὴν ἐπὶ τοῦ -ες ὀξεῖαν (καὶ διὰ τοῦτο ἔνιοι τὸ βιόπλανες βαρύνουσιν ἀπὸ τοῦ βιοπλανής, καὶ ἐπίτηδες, καὶ «ἄκλεες αὔτως» (Η 100) ἀπὸ τοῦ ἀκλεής); de βιοπλανές vid. etiam Et. Gen. β 121 Βιοπλανές (Call. fr. 489.1 Pf.)· τὸ ἐντελὲς βιοπλανέες, ὡς ἀκλεέες ἀκλεές. οὕτως Ἡρωδιανός et quos afferunt L.–L. locos (pro εὐτελές scribe ἐντελές ap. EM β 147); de ἐπίτηδες proparoxytono adverbio vid. inferius § **136** (9)

2 οἷοί τε Naeke: οἵ οἱ τε A: οἵ οἱ τὲ V **2–3** ἀπ' ἀγροῦ V: ἀπαγροῦ A
3 ἐπιτηδές] cave Dindorfio credas τὸ ante ἐπιτηδές exstare in AV

67. Αἱ δὲ εἰς *-οι* τῇ ἑνικῇ ἀκολουθοῦσιν εὐθείᾳ καὶ αὐτῆς ἔχουσι τὸν τόνον· *ἄνθρωπος ἄνθρωποι*, *ἱστός ἱστοί*. ἔνθεν ἀπὸ μὲν τοῦ *ὁ χρυσός οἱ χρυσοί* ὀξύνεται, ἀπὸ δὲ τοῦ *ὁ χρυσοῦς οἱ χρυσοῖ* περισπᾶται, καὶ ἐπὶ τῶν ὁμοίων ὡσαύτως.

5 **68.** Αἱ δὲ εἰς *-αι* μονογενεῖς μὲν οὖσαι ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἔχουσι τὸν τόνον τῇ ἑνικῇ εὐθείᾳ· *Μήδεια Μήδειαι*, *Αἰνείας*

1–4 Αἱ…περισπᾶται] cf. Theod. I 39.20 ἡ δὲ εἰς -οι τῇ εὐθείᾳ τῶν ἑνικῶν (scil. ὁμότονος ἔσται), λίθινοι χρυσοῖ πλησίοι; Choer. I 402.1 Αἱ μέντοι εἰς τὴν -οι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ὁμότονοί εἰσι τῇ εὐθείᾳ τῶν ἑνικῶν καὶ ἐν τῇ αὐτῇ συλλαβῇ τὸν αὐτὸν τόνον φυλάττουσιν, οἷον Ὅμηρος Ὅμηροι, ἄνθρωπος ἄνθρωποι, λίθινος λίθινοι, Ἀρίσταρχος Ἀρίσταρχοι, φιλόσοφος φιλόσοφοι, φήγινος φήγινοι, δρύϊνος δρύϊνοι, πίσυνος πίσυνοι, ἀγκύλος ἀγκύλοι, ποικίλος ποικίλοι, ἐναντίος ἐναντίοι, —ὅθεν καὶ εἰ μεγάλοι, δηλονότι καὶ ἡ σεσιγημένη εὐθεῖα ὁ μεγάλος, —φίλος φίλοι, ξένος ξένοι, καλός καλοί, οἶκος οἶκοι, δῆμος δῆμοι, κῆπος κῆποι, δοῦλος δοῦλοι, σοφός σοφοί, σεμνός σεμνοί, ἀγαθός ἀγαθοί, ἐαρινός ἐαρινοί, χειμερινός χειμερινοί, Σαπφώ Σαπφοί, Καλυψώ Καλυψοί, Λητώ Λητοί, ἁγνός ἁγνοί, σιδηροῦς σιδηροῖ, ἀργυροῦς ἀργυροῖ, πορφυροῦς πορφυροῖ· ὅθεν καὶ τὸ χαλκοι καὶ χρυσοι διαφόρως τονοῦνται· ἀπὸ μὲν γὰρ τοῦ χαλκός καὶ χρυσός ὀξύνονται, οἷον χρυσοί χαλκοί, ἀπὸ δὲ τοῦ χρυσοῦς καὶ χαλκοῦς περισπῶνται, οἷον χρυσοῖ χαλκοῖ. **5–62,1** Αἱ…Αἰνεῖαι] canon Herodianeus ap. sch. P 23b ἐϋμμελία⟨ι⟩: καὶ ἐπὶ τούτου πρὸ τέλους ἡ ὀξεῖα· ὁμοτονεῖ γὰρ τοῖς ἑνικοῖς τὰ εἰς -αι λήγοντα πληθυντικὰ ἐπὶ τῶν εἰς -ας καὶ εἰς -ης ἰσοσυλλάβως κλινομένων καὶ βραχείᾳ παραληγομένων; Theod. I 40.1 ἡ δὲ εἰς -αι (scil. εὐθεῖα τῶν πληθυντικῶν) μονογενὴς μὲν οὖσα ὁμοτονεῖ τῇ ἰδίᾳ εὐθείᾳ, βορέαι, ἄελλαι, Πέρσαι, εὐθῦναι; Choer. I 402.25 Αἱ δὲ εἰς ⟨τὴν⟩ -αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν μονογενεῖς μὲν οὖσαι ὁμοτονοῦσι τῇ εὐθείᾳ τῶν ἑνικῶν, ὁπότε μὴ εἴη πρὸ τέλους φύσει μακρὰ ἐπὶ βαρυτόνων· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, οἷον κοχλίας κοχλίαι, Βορέας Βορέαι, τοξότης τοξόται, νύσσα νύσσαι, ἄελλα ἄελλαι, δόξα δόξαι, τράπεζα τράπεζαι, ἅμαξα ἅμαξαι, εὐνέτης εὐνέται, φυλέτης φυλέται, δεσπότης δεσπόται, γαμέτης γαμέται, ἡδονή ἡδοναί, ποιητής ποιηταί, ἀθλητής ἀθληταί, ἀγυιά ἀγυιαί, (β 388) σκιόωντό τε πᾶσαι ἀγυιαί, ἡμέρα ἡμέραι. Πρόσκειται «ὁπότε μὴ εἴη πρὸ τέλους φύσει μακρὰ ἐπὶ βαρυτόνων», ἐπειδὴ ἐπὶ τούτων ἡ ὀξεῖα εἰς περισπωμένην μεθίσταται κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, οἷον Ἀτρείδης Ἀτρεῖδαι, Αἰνείας Αἰνεῖαι, πλανήτης πλανῆται, Θήβη Θῆβαι· ἰδοὺ γὰρ ἐπὶ τούτων ἡ μὲν εὐθεῖα τῶν ἑνικῶν παροξύνεται, ἐπειδὴ φύσει μακρά ἐστιν ἡ τελευταία συλλαβή, οὐδέποτε δέ, ὡς εἴρηται, πρὸ φύσει μακρᾶς τίθεται περισπωμένη, οἷον ἀνθρώπου Ὁμήρου κήπου τείχους, ἡ δὲ εὐθεῖα τῶν πληθυντικῶν προπερισπᾶται, ἐπειδὴ φύσει μακρά ἐστι πρὸ μιᾶς βραχείας· ἡ γὰρ

1–2 αὐτῆς…τόνον A: τὸν αὐτὸν ἔχουσι τόνον V

Αἰνεῖαι. οὐ δεόντως οὖν οἱ Ἀττικοὶ τὸ *αἴτιαι* τὸ μονογενὲς προπαροξύνουσιν οὐδὲ τὸ *τραγῴδιαι* καὶ *κωμῴδιαι*.

-αι δίφθογγος ἐνταῦθα ἀντὶ κοινῆς παραλαμβάνεται; Choer. I 404.2 Λύκιοι Λύκιαι τὸ τριγενές· Λυκίαι δὲ τὸ μονογενὲς πρὸς τὸ Λυκία
1–2 οὐ…κωμῴδιαι] Herodianus accuratius recentioribus Atticis αἴτιαι et similia tribuit ap. sch. B 339b συνθεσίαι τε: οὕτως συνθεσίαι τε ὡς θυσίαι τε. ὅσοι δὲ προπαροξύνουσι, πταίουσι· τῆς γὰρ μεταγενεστέρας Ἀτθίδος ἡ τοιάδε ἀνάγνωσις et ap. sch. Ε 54 {οὐδὲ} ἐκηβολίαι: οὕτως ἐκηβολίαι ὡς εὐστοχίαι· ἔφαμεν γὰρ ὅτι τὸ ἀναδιδόναι τὸν τόνον τῶν μεταγενεστέρων ἐστὶν Ἀττικῶν, ὅτε περὶ τοῦ «πῆ δὴ συνθεσίαι» (Β 339) διελαμβάνομεν; Choer. I 403.16 ἐπὶ γὰρ τοῦ μονογενοῦς ἡμέρα ἡμέραι παροξυτόνως· οἱ μέντοι Ἀθηναῖοι ἐπὶ ταύτης τῆς λέξεως, καὶ μάλιστα οἱ νεώτεροι, προπαροξύνουσιν· πέντε γὰρ ἥμεραι καὶ δέκα ἥμεραι φασὶ προπαροξυτόνως, ὡς ἀπαγγέλλουσιν οἱ περὶ Ἀττικῆς συνηθείας γράψαντες· οὐ μόνον δὲ ἐπὶ ταύτης τῆς λέξεως τοῦτο ποιοῦσιν, λέγω δὴ προπαροξύνουσιν, ἀλλὰ καὶ ἐπὶ τῶν παραληγομένων τῷ -ι-, οἷον εὐπράξιαι τιμώριαι αἴτιαι τραγῴδιαι ὁμίλιαι κωμῴδιαι· οὕτω γὰρ ἐπὶ τῶν μονογενῶν προπαροξυτόνως λέγουσιν οἱ Ἀθηναῖοι.

1 οὐ δεόντως V: οὐδὲ ὄντως A | οἱ V: om. A | αἴτιαι V (coni. Dindorf praef. viii): αἴτειαι A **2** τραγῴδιαι…κωμῴδιαι A: τραγῳδίαι … κωμῳδίαι V | καὶ V: om. A

69. Μὴ οὖσαι δὲ μονογενεῖς τῶν ἀρσενικῶν ἔχουσι τὸν τόνον·

1–64,4 Μὴ… ἥμεροι] similis canon exstat ap. Theodosium et Choeroboscum, Herodianus autem aliter de hac re praecipit: Theod. I 40.2 παρεσχηματισμέναι δὲ ἀρσενικοῖς (scil. αἱ εἰς -αι εὐθεῖαι τῶν πληθυντικῶν) τῷ τόνῳ αὐτῶν ἕπονται, λίθινοι λίθιναι· καὶ ἥμεραι μὲν τὸ τριγενὲς προπαροξυτόνως, ἐπεὶ καὶ ἥμεροι, ἡμέραι δὲ τὸ μονογενὲς παροξυτόνως; Choer. I 403.3 Παρεσχηματισμέναι δὲ ἀρσενικοῖς οὖσαι αἱ εἰς τὴν -αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ὁμοτονοῦσι τοῖς ἰδίοις ἀρσενικοῖς, τουτέστιν ἐν τῇ αὐτῇ συλλαβῇ φυλάττουσι τὸν τόνον ἐν ᾗ καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν ἀρσενικῶν ἔχει αὐτόν, οἷον τύπτοντες τύπτουσαι, χαρίεντες χαρίεσσαι, βοῶντες βοῶσαι, ποιοῦντες ποιοῦσαι, ταχέες ταχεῖαι, βραδέες βραδεῖαι· ταῦτα μὲν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ ταχέες ⟨καὶ⟩ βραδέες παροξύνονται, τὸ δὲ ταχεῖαι καὶ βραδεῖαι προπερισπῶνται διὰ τὸ εἶναι φύσει μακρὰν πρὸ μιᾶς βραχείας· σοφοί σοφαί, καλοί καλαί, σεμνοί σεμναί, ἐναντίοι ἐναντίαι, λίθινοι λίθιναι, δρύϊνοι δρύϊναι, Βυζάντιοι Βυζάντιαι, Κνίδιοι Κνίδιαι, Ῥόδιοι Ῥόδιαι, τίμιοι τίμιαι, ὅσιοι ὅσιαι, δειλοί δειλαί, λόγιοι λόγιαι, πεντακόσιοι πεντακόσιαι, διακόσιοι διακόσιαι, ἥμεροι ἥμεραι τὸ τριγενές, τουτέστιν οἱ μὴ ὄντες ἄγριοι· ἐπὶ γὰρ τοῦ μονογενοῦς ἡμέρα ἡμέραι παροξυτόνως· οἱ μέντοι Ἀθηναῖοι ἐπὶ ταύτης τῆς λέξεως, καὶ μάλιστα οἱ νεώτεροι, προπαροξύνουσιν· πέντε γὰρ ἥμεραι καὶ δέκα ἥμεραι φασὶ προπαροξυτόνως, ὡς ἀπαγγέλλουσιν οἱ περὶ Ἀττικῆς συνηθείας γράψαντες· οὐ μόνον δὲ ἐπὶ ταύτης τῆς λέξεως τοῦτο ποιοῦσιν, λέγω δὴ προπαροξύνουσιν, ἀλλὰ καὶ ἐπὶ τῶν παραληγομένων τῷ ι, οἷον εὐπράξιαι τιμώριαι αἴτιαι τραγῴδιαι ὁμίλιαι κωμῴδιαι· οὕτω γὰρ ἐπὶ τῶν μονογενῶν προπαροξυτόνως λέγουσιν οἱ Ἀθηναῖοι. Πάλιν ἐστὶν ἡ Ῥοδία ὄνομα κύριον καὶ ἡ Ῥοδία ἐθνικόν, καὶ ἐπὶ μὲν τοῦ ὀνόματος τοῦ κυρίου τὴν εὐθεῖαν τῶν πληθυντικῶν αἱ Ῥοδίαι φαμὲν παροξυτόνως, ὡς πρὸς τὴν εὐθεῖαν τῶν ἑνικῶν, ἐπειδὴ μονογενές ἐστιν, ἐπὶ δὲ τοῦ ἐθνικοῦ αἱ Ῥόδιαι φαμὲν προπαροξυτόνως, ὡς πρὸς τὴν εὐθεῖαν τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ τὴν οἱ Ῥόδιοι· καὶ πάλιν ὑπάτη καὶ ὑπάται παροξυτόνως ἐπὶ τῆς χορδῆς, μονογενὲς γάρ ἐστιν, οἱ ὕπατοι δὲ καὶ αἱ ὕπαται ἐπὶ τοῦ ὑψηλοῦ προπαροξυτόνως, παρεσχημάτισται γὰρ ἀρσενικῷ; Hrd. Cath. Pros. ap. Choer. I 403.32 Ἰστέον δὲ ὅτι ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου οὕτω κανονίζει τὰς εἰς τὴν -αι δίφθογγον ληγούσας εὐθείας τῶν πληθυντικῶν παρεσχηματισμένας ἀρσενικοῖς· φησὶ γὰρ ὅτι αἱ εἰς τὴν -αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν παρεσχηματισμέναι ἀρσενικοῖς, ἐὰν μὲν ὦσιν ἀπὸ τῶν εἰς -ος, τῷ τόνῳ τοῦ ἀρσενικοῦ ἀκολουθοῦσι, τουτέστι τῆς εὐθείας τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, οἷον ποικίλοι ποικίλαι, ἐναντίοι ἐναντίαι, σοφοί σοφαί, καλοί καλαί, λίθινοι λίθιναι, δρύϊνοι δρύϊναι, ἅγιοι ἅγιαι, τίμιοι τίμιαι, ὅσιοι ὅσιαι, Λύκιοι Λύκιαι τὸ τριγενές· Λυκίαι δὲ τὸ μονογενὲς πρὸς τὸ Λυκία· ἐὰν δὲ μὴ ὦσιν ἀπὸ τῶν εἰς -ος, τοῖς ἑνικοῖς ἑαυτῶν ἀκολουθοῦσι κατὰ τὸν τόνον, οἷον Θρῇσσα Θρῇσσαι, θῆσσα θῆσσαι (ἡ ⟨ἐπὶ⟩ μισθῷ δουλεύουσα), τύπτουσα τύπτουσαι, χαρίεσσα χαρίεσσαι, τετυφυῖα τετυφυῖαι,

1 post ἀρσενικῶν facile mente supplentur πληθυντικῶν εὐθειῶν

δίκαιοι δίκαιαι, καλοί καλαί. τὸ μὲν οὖν *δικαία* παροξύνεται, τὸ δὲ *δίκαιαι* πληθυντικῶς ὁμοίως τῷ *δίκαιοι* ἀρσενικῷ προπαροξύνεται. ὅθεν τὸ *ἡμεραι*, τὸ μὲν ἐπὶ χρόνου παροξύνεται, τὸ δὲ ἐπιθετικὸν προπαροξύνεται, ἐπεὶ καὶ *οἱ ἥμεροι.*

70. Αἱ δὲ εἰς *-εις* ἀπὸ μὲν βαρυτόνων ἑνικῶν βαρύνονται· *Δημοσθένης Δημοσθένεις.* ἀπὸ δὲ τῶν ὀξυνομένων ἢ περισπωμένων περισπῶνται· *εὐγενής εὐγενεῖς, Ἡρακλῆς Ἡρακλεῖς.* τῶν δὲ τοιούτων Ἀθηναῖοι τὴν συναίρεσιν ποιοῦνται διὰ τοῦ *-η-* καὶ ὁμοίως περισπῶσιν· *ἱππῆς* ἐκ τοῦ *ἱππέες, βασιλέες βασιλῆς.* 5

ταχεῖα ταχεῖαι, βραδεῖα βραδεῖαι, μέλαινα μέλαιναι· τὸ δὲ Τρῳαί καὶ δμῳαί ὀξυνόμενα ὁμολογοῦσι πεπτωκέναι ἀπὸ ὀξυτόνου ἑνικοῦ ⟨τοῦ⟩ Τρωή καὶ δμωή.
3–4 ὅθεν … ἥμεροι] de gen. plur. vid. § 77 **5–9** Αἱ … βασιλῆς] cf. Choer. I 401.23 τὰ μέντοι καθαριεύοντα κρᾶσιν ἐπιδέχονται, καὶ εἰ μὲν προπαροξύνονται ἐν τῇ ἐντελείᾳ, ἐν τῇ συναιρέσει παροξύνονται, οἷον Δημοσθένεες Δημοσθένεις, Διομήδεες Διομήδεις, εὐμήκεες εὐμήκεις παροξυτόνως· ἡ γὰρ ὀξεῖα καὶ αἱ δύο βαρεῖαι εἰς ὀξεῖαν καὶ βαρεῖαν συνέρχονται, ὡς εἴρηται, οἷον τείχεος τείχους, βέλεος βέλους, ἤθεα ἤθη· εἰ δὲ παροξύνονται ἐν τῇ ἐντελείᾳ, ἐν τῇ συναιρέσει περισπῶνται, οἷον εὐγενέες εὐγενεῖς, εὐσεβέες εὐσεβεῖς, εὐτυχέες εὐτυχεῖς περισπωμένως· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα, ὡς εἴρηται, εἰς περισπωμένην συνέρχονται, οἷον πάϊς παῖς, Πηλέϊ Πηλεῖ, νοέω νοῶ

2 πληθυντικῶς V: πληθυντικαὶ A **3–4** ὅθεν … προπαροξύνεται V: om. A propter homoeoteleuton **5** Αἱ Dindorf quasi ex A: εἰ AV | post ἑνικῶν subauditur εὐθειῶν **6** δὲ V (add. Bloch): om. A **7** εὐγενής V: εὐγενῆς A | Ἡρακλῆς A: ἡρακλὴς V **9** περισπῶσιν A: περισπῶσι V | ἱππῆς A: ἱππῆς V | βασιλῆς A: βασιλῆς V

71. †Πᾶσα εὐθεῖα πληθυντικὴ οὐδετέρου ὀνόματος ἐντελὴς εἰς -α λήγει καὶ ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ ἑνικὴ εὐθεῖα· *γράμμα γράμματα, φίλον φίλα, καλόν καλά. κάνεον* μὲν *κάνεα* προπαροξυτόνως, *κανοῦν* δὲ *κανᾶ* περισπω-
5 μένως διὰ τὴν συναίρεσιν†.

72. Αἱ δὲ εἰς -*η* ἐκ συναιρέσεώς εἰσι καὶ πρὸς τὴν συναίρεσιν τὸν τόνον ποιοῦνται· *τείχεα τείχη*· αἱ γὰρ δύο βαρεῖαι εἰς βαρεῖαν συναιροῦνται· τὰ *εὐσεβέα* δὲ τὰ *εὐσεβῆ*· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συναιρεῖται.

10 **73.** Αἱ γενικαὶ αἵ τε ἑνικαὶ καὶ πληθυντικαὶ ἀπὸ μὲν τῶν ὀξυτόνων ἢ περισπωμένων ὀνομάτων, εἰ μὲν ἰσοσυλλάβως κλίνοιντο, πάντως περισπῶνται· *καλός καλοῦ καλῶν, ψυχή ψυχῆς ψυχῶν, λουτρόν λουτροῦ λουτρῶν.* ἀλλὰ καὶ *Ἑρμῆς*

1–5 Πᾶσα…συναίρεσιν] aliter Theod. I 40.5 Τὰ δὲ οὐδέτερα εἰ μὲν εἴη ἀπὸ ἰσοσυλλάβου γενικῆς κεκλιμένα, τῇ ὀρθῇ τῶν ἑνικῶν ὁμοτονεῖ, κάνεον κάνεα καὶ κανοῦν κανᾶ καὶ τείχεα χάλκεα· εἰ δὲ ἀπὸ περισσοσυλλάβου, ἀεὶ βαρύνεται, φῶτα ὦτα πύρα φιλήματα κέρατα; Choer. I 404.13 Αἱ μέντοι εἰς -α λήγουσαι εὐθεῖαι πληθυντικαὶ τῶν οὐδετέρων τριγενεῖς μὲν οὖσαι, τουτέστι παρεσχηματισμέναι ἀρσενικοῖς, ὁμοτονοῦσι τοῖς ἀρσενικοῖς, ἤγουν τῇ εὐθείᾳ τῶν πληθυντικῶν τοῦ ἀρσενικοῦ, οἷον σεμνοί σεμνά, ἐναντίοι ἐναντία, δειλοί δειλά, λόγιοι λόγια, ἄξιοι ἄξια, τύπτοντες τύπτοντα, βοῶντες βοῶντα, κοῦφοι κοῦφα, σοφοί σοφά, φοβεροί φοβερά, χάλκεοι χάλκεα, χρύσεοι χρύσεα, ἀργύρεοι ἀργύρεα, σιδήρεοι σιδήρεα· μονογενεῖς δὲ οὖσαι, εἰ μὲν ἀπὸ ἰσοσυλλάβου γενικῆς ὦσι, συντονοῦνται τῇ ἰδίᾳ εὐθείᾳ τῶν ἑνικῶν, οἷον ξύλον ξύλα, δένδρον δένδρα, ξυρόν ξυρά, κάνεον κάνεα, κανοῦν κανᾶ, ὀστέον ὀστέα, ὀστοῦν ὀστᾶ, σφυρόν σφυρά, πλευρόν πλευρά, πυρόν πυρά· καὶ δῆλον ὅτι παρὰ τὸ πυρόν ἐστὶ τὰ πυρά, οἷον (Θ 562) χίλι' ἄρ' ἐν πεδίῳ πυρὰ καίετο· ἐὰν δὲ ἀπὸ περιττοσυλλάβου γενικῆς ὦσιν αἱ εἰς -α λήγουσαι εὐθεῖαι πληθυντικαὶ τῶν οὐδετέρων, ἀεὶ βαρύνονται, οἷον φίλημα φιλήματος φιλήματα, βῆμα βήματος βήματα, ὦς ὠτός ὦτα· καὶ παρὰ τὴν πυρός οὖν γενικὴν ἐὰν γένηται εὐθεῖα πληθυντικῶν, πύρα γίνεται καὶ βαρυτόνως ἀναγινώσκεται· κρέας κρέατος κρέατα, τεῖχος τείχεος τείχεα καὶ κατὰ κρᾶσιν τείχη, βέλος βέλεος βέλεα καὶ κατὰ κρᾶσιν βέλη. **6–9** Αἱ… συναιρεῖται] Choer. I 404.28 (vid. notam proxime praecedentem) **7–8** αἱ… συναιροῦνται] vid. § **23** **8–9** ἡ[1]…συναιρεῖται] vid. § **21** **10–66,1** Αἱ…χρυσῶν] cf. §§ **42**, **41**, **45**

1–5 Πᾶσα…συναίρεσιν praeceptum ita conceptum parum validum; nam exempla, qualia sunt φίλημα φιλήματα etc, ei non conveniunt; desideratur igitur e.g. ⟨εἰ μὴ τονικὸν κωλύοι παράγγελμα⟩ (cf. § **50**) **2** post ἡ add. γενικὴ A ἑνικὴ A: om. V **7** βαρεῖαν A: βαρείαν V **10** ante Αἱ γενικαὶ tit. περὶ γενικῆς τῶν πληθυντικῶν praebet V

Ἑρμοῦ Ἑρμῶν, χρυσοῦς χρυσοῦ χρυσῶν. εἰ δὲ περιττοσυλλάβως, ἐντελεῖς μὲν οὖσαι παροξύνονται (*εὐσεβής εὐσεβέος εὐσεβέων, Ἡρακλῆς Ἡρακλέος Ἡρακλέων*), συνῃρημέναι δὲ περισπῶνται (*εὐσεβοῦς εὐσεβῶν, εὐγενοῦς εὐγενῶν, Ἡρακλοῦς Ἡρακλῶν*). 5

74. Αἱ δὲ εἰς *-οι* λήγουσαι πληθυντικαὶ εὐθεῖαι βαρύτονοι βαρύνουσι καὶ τὰς ἰδίας γενικάς· *φίλοι φίλων, Ὅμηροι Ὁμήρων.* αἱ δὲ ὀξύτονοι ἢ περισπώμεναι περισπῶσι· *καλοί καλῶν, σοφοί σοφῶν, χρυσοῖ χρυσῶν, χαλκοῖ χαλκῶν.*

6–9 Αἱ...χαλκῶν] genetivus dualis, non nominativus pluralis, norma rei est ap. Theod. I 41.14 αἱ ὑπόλοιποι πᾶσαι (scil. γενικαὶ πληθυντικαί) τῇ γενικῇ τῶν δυϊκῶν ὁμοτονοῦσι; Choer. Th. I 411.36 Αἱ μέντοι ὑπολειπόμεναι γενικαὶ πληθυντικαί, τουτέστιν αἱ μὴ ὑποπίπτουσαι τοῖς προλεχθεῖσι κανόσιν, ἀκολουθοῦσι τῇ γενικῇ τῶν δυϊκῶν, οἷον φίλω φίλοιν φίλοι φίλων, ἀνθρώπω ἀνθρώποιν ἄνθρωποι ἀνθρώπων; inde ab p. 412.2 Choer. I Herodiano nititur Ἔστι δὲ καὶ οὕτω κανονίσαι τὴν γενικὴν τῶν πληθυντικῶν τὴν οὖσαν ἀπὸ εὐθείας πληθυντικῆς εἰς τὴν -οι δίφθογγον ληγούσης· αἱ εἰς τὴν -οι δίφθογγον λήγουσαι εὐθεῖαι πληθυντικαί, εἰ μὲν βαρύνονται, βαρύνουσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον λίθοι λίθων, δοῦλοι δούλων, κοῦφοι κούφων, ἐναντίοι ἐναντίων, νυμφίοι νυμφίων, πλούσιοι πλουσίων, Ὅμηροι Ὁμήρων, ἄνθρωποι ἀνθρώπων, τίμιοι τιμίων, Βυζάντιοι Βυζαντίων, τοῦ τόνου καταβιβασθέντος μίαν συλλαβὴν διὰ τὴν ἐπὶ τέλους φύσει μακράν· ὡς ⟨γὰρ⟩ ἐν τοῖς προλαβοῦσιν ἐμάθομεν, φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα, ἤγουν οὐ θέλει προπαροξύνεσθαι ἡ λέξις, οἷον Ὁμήρων ἀνθρώπων Ἀριστάρχων Διομηδέων· εἰ δὲ ὀξύνονται ἢ περισπῶνται αἱ εἰς τὴν -οι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν, περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον σοφοί σοφῶν, καλοί καλῶν, ἐχθροί ἐχθρῶν, σεμνοί σεμνῶν, χαλκοῖ χαλκῶν, χρυσοῖ χρυσῶν, σιδηροῖ σιδηρῶν, ἀργυροῖ ἀργυρῶν, πορφυροῖ πορφυρῶν; cf. et § **41**

3 Ἡρακλῆς A: ἡρακλῆς V | Ἡρακλέος Bloch praef. viii: Ἡρακλέως AV **7** βαρύνουσι V (coni. Dindorf): βαρυνοῦσι A **9** χαλκοῖ V: χαλκοὶ A

75. Αἱ δὲ εἰς *-αι* εὐθεῖαι πληθυντικαὶ μονογενεῖς περισπῶσι τὰς ἰδίας γενικάς· *Μήδειαι Μηδειῶν, Αἰνεῖαι Αἰνειῶν*. σεσημείωται βαρυνόμενα τέσσαρα· *χλοῦναι χλούνων, ἐτησίαι ἐτησίων, ἀφύαι ἀφύων, χρῆσται χρήστων*, διὰ τὸ μὴ
5 συνεμπεσεῖν τῷ *χρηστός χρηστοί χρηστῶν*· τὸ δὲ *ἀφύαι ἀφύων* πάλιν βαρέως, ἵνα μὴ συνεμπέσῃ τῷ *ἀφυεῖς τῶν ἀφυῶν*.

1–7 Αἱ…ἀφυῶν] cf. Theod. I 40.12 Αἱ δὲ εἰς -αι λήγουσαι ἀρσενικαὶ μὲν οὖσαι περισπῶσι τὴν γενικήν, τοξοτῶν πολιτῶν Αἰνειῶν, σεσημειωμένου τοῦ χλούνων χρήστων ἐτησίων· θηλυκαὶ δὲ οὖσαι εἰ μὲν εἶεν μονογενεῖς περισπῶνται, Μουσῶν ἀελλῶν πλὴν τοῦ ἀφύων; Choer. I 408.21 Ἰστέον δὲ ὅτι αἱ εἰς τὴν -αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν, ἀρσενικαὶ μὲν οὖσαι, περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Ὀρέσται Ὀρεστῶν, τοξόται τοξοτῶν, Ἀτρεῖδαι Ἀτρειδῶν, Αἰνεῖαι Αἰνειῶν, πολῖται πολιτῶν, Χρῦσαι Χρυσῶν, Πέρσαι Περσῶν, Σκύθαι Σκυθῶν, ναῦται ναυτῶν, δημόται δημοτῶν, χωρὶς τοῦ χλοῦναι χλούνων καὶ χρῆσται χρήστων καὶ ἐτησίαι ἐτησίων· ταῦτα γὰρ οὐ περισπῶνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν ἀλλὰ βαρύνονται. Θέλουσι δέ τινες ἀπολογεῖσθαι περὶ τούτων οὕτως, ὅτι ἀπὸ τοῦ χλοεῦναι χλοεύνων ἐγένετο χλοῦναι χλούνων, καὶ ἐφύλαξε τὴν βαρεῖαν τάσιν· χλοῦναι δέ εἰσιν οἱ σύαγροι οἱ ἐν ταῖς χλόαις εὐναζόμενοι καὶ διατρίβοντες· τὸ δὲ χρῆσται χρήστων λέγουσι πρὸς ἀντιδιαστολὴν τοῦ οἱ χρηστοὶ τῶν χρηστῶν (ἐπὶ τῶν καλῶν)· χρῆσται δέ εἰσιν οἱ δανείζοντες καὶ οἱ δανειζόμενοι· τὸ δὲ ἐτησίαι ἐτησίων λέγουσιν, ὅτι συνέδραμε κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν τῷ ἐτήσιοι ἐτησίων· ἐτησίαι δέ εἰσιν οἱ ἄνεμοι οἱ κατ᾽ ἔτος πνέοντες. Θηλυκαὶ δὲ οὖσαι αἱ εἰς τὴν -αι δίφθογγον λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν, εἰ μέν εἰσι μονογενεῖς, περισπῶνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Μοῦσαι Μουσῶν, ἄελλαι ἀελλῶν, ἅμαξαι ἁμαξῶν, τράπεζαι τραπεζῶν, ἄκανθαι ἀκανθῶν, εὐθῦναι εὐθυνῶν, ἐέρσαι ἐερσῶν, κλῖναι κλινῶν, Ἀφροδῖται Ἀφροδιτῶν, χωρὶς τοῦ ἀφύαι ἀφύων· τοῦτο γὰρ πρὸς ἀντιδιαστολὴν τοῦ οἱ ἀφυεῖς τῶν ἀφυῶν ἐβαρύνθη· ἀφύαι δέ εἰσιν εἶδος ἰχθύος μικροῦ; de ἐτησίων et similibus vid. etiam Ep. var. 366.18 ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ ἐτησίαι (correxi: ἐτήσιαι cod.), τῶν ἐτησίων. ὁ τόνος σεσημείωται, τὸ χλούνων, χρήστων, ἐτησίων; Et. Gud. 547.3 Stef. (de ἐτησίων; vid. et locos ibi allatos); Eust. Il. II 793.14 (de χλούνων; vid. et locos ibi allatos)

2–3 σεσημείωται V: σεσ^η A **3–4** ἐτησίαι ἐτησίων Dindorf: αἰτησίαι (-τή- V) αἰτησίων AV **5** δὲ V: om. A **6** βαρέως VA^p.c.^: βαρέων A^a.c.^ **7** ἀφυῶν A: ἀφειῶν V

76. Αἱ εἰς *-αι* λήγουσαι εὐθεῖαι θηλυκαὶ πληθυντικαὶ παρεσχηματισμέναι ἀρσενικοῖς, εἰ μὲν ἔχοιεν τὴν πληθυντικὴν γενικὴν ὁμόφωνον τῇ τοῦ ἀρσενικοῦ γενικῇ, πάντως καὶ ὁμότονον ἔχουσιν· ὡς γὰρ *οἱ φίλοι τῶν φίλων*, οὕτως καὶ *αἱ φίλαι τῶν φίλων*· καὶ ὡς *οἱ καλοὶ τῶν καλῶν* περισπᾶται, οὕτως καὶ *αἱ καλαί τῶν* 5 *καλῶν* περισπᾶται. εἰ μέντοι ⟨μὴ⟩ ὁμοφωνοῖεν αἱ γενικαί, πάντως τὸ θηλυκὸν περισπᾶται· *οἱ τάλανες τῶν ταλάνων* βαρυτόνως, *αἱ τάλαιναι τῶν ταλαινῶν* περισπωμένως· καὶ *ταχέες* μέντοι *ταχέων* βαρυτόνως, *ταχεῖαι* δὲ *ταχειῶν* περισπωμένως. τὸ

1–6 Αἱ … περισπᾶται] cf. Theod. I 40.15 εἰ δὲ παρεσχηματισμέναι ἀρσενικοῖς, ὁμοφωνοῦσαι μὲν αὐτοῖς τοῖς ἀρσενικοῖς κατὰ τὴν γενικὴν καὶ ὁμοτονοῦσιν … οἷον Ῥόδιοι Ῥοδίων καὶ Ῥόδιαι Ῥοδίων· συμβεβάρυνται τῷ ἀρσενικῷ, ἐπεὶ καὶ μία φωνὴ ἐπ' ἀμφοῖν· ὁμοίως δούλων φίλων …; Choer. I 409.3 Εἰ δέ εἰσι παρεσχηματισμέναι ἀρσενικοῖς, ἐὰν μὲν ὁμοφωνῶσι τῇ γενικῇ τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, καὶ ὁμοτονοῦσιν αὐτῇ, οἷον οἱ Ῥόδιοι τῶν Ῥοδίων καὶ αἱ Ῥόδιαι τῶν Ῥοδίων (μία φωνὴ καὶ εἷς ὁ τόνος), οἱ Βυζάντιοι τῶν Βυζαντίων καὶ αἱ Βυζάντιαι τῶν Βυζαντίων, οἱ ἅγιοι τῶν ἁγίων καὶ αἱ ἅγιαι τῶν ἁγίων, οἱ δίκαιοι τῶν δικαίων καὶ αἱ δίκαιαι τῶν δικαίων, οἱ φίλοι τῶν φίλων καὶ αἱ φίλαι τῶν φίλων, οἱ δοῦλοι τῶν δούλων καὶ αἱ δοῦλαι τῶν δούλων, οἱ καλοί τῶν καλῶν; ibid. 150.18 **6–69,4** εἰ … περισπωμένως] cf. Theod. I 40.15 εἰ δὲ παρεσχηματισμέναι ἀρσενικοῖς … παραλλάσσουσαι δὲ τῇ φωνῇ (scil. κατὰ τὴν γενικήν) καὶ τῷ τόνῳ διαφωνοῦσιν … ταχεῖαι μέντοι ταχειῶν· οὐ γὰρ ὁμοφώνως τῇ ταχέων ἀρσενικῇ, μελαινῶν καὶ μελάνων, μακαιρῶν καὶ μακάρων; Choer. I 409.16 ἐὰν δὲ παραλλάξωσι κατὰ τὴν φωνὴν πρὸς τὴν γενικὴν τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, καὶ τῷ τόνῳ παραλλάσσουσι καὶ περισπῶνται αἱ θηλυκαὶ γενικαὶ τῶν πληθυντικῶν, οἷον οἱ μέλανες τῶν μελάνων καὶ αἱ μέλαιναι τῶν μελαινῶν, οἱ μάκαρες τῶν μακάρων καὶ αἱ μάκαιραι τῶν μακαιρῶν, οἱ πάντες τῶν πάντων καὶ αἱ πᾶσαι τῶν πασῶν, οἱ γράφοντες τῶν γραφόντων καὶ αἱ γράφουσαι τῶν γραφουσῶν, οἱ χαρίεντες τῶν χαριέντων καὶ αἱ χαρίεσσαι τῶν χαριεσσῶν, οἱ ὀξέες τῶν ὀξέων καὶ αἱ ὀξεῖαι τῶν ὀξειῶν, οἱ ποιοῦντες τῶν ποιούντων καὶ αἱ ποιοῦσαι τῶν ποιουσῶν· ἰδοὺ αὗται αἱ θηλυκαὶ γενικαὶ τῶν πληθυντικῶν, παραλλάξασαι τῇ φωνῇ πρὸς τὴν γενικὴν τῶν πληθυντικῶν τοῦ ἰδίου ἀρσενικοῦ, καὶ τῷ τόνῳ παρήλλαξαν καὶ περιεσπάσθησαν; ibid. 150.22; Ep. Hom. τ 61, l. 31 τὰ δὲ διαλλάξαντα ⟨κατὰ τὴν⟩ (vid. Dyck, ad loc., p. 1032) γραφὴν θηλυκά, ὡς τὸ ἀρσενικὸν κατὰ γενικήν, διαλ⟨λ⟩άσσει κατὰ τὸν τόνον· ταχέων ταχειῶν, μελάνων μελαινῶν …

3 γενικῇ A: γένους V; post γενικῇ subauditur πληθυντικῇ **4** οὕτως A: οὕτω V **5** οὕτως A: οὕτω V **6** μὴ add. Lentz 425.20 | ὁμοφωνοῖεν Dindorf quasi ex A: ὁμοφωνῆεν AV **8** τάλαιναι … ταλαινῶν Dindorf quasi ex A: τάλαναι … ταλανῶν AV

αὐτὸ καὶ ἐπὶ μετοχῶν· *οἱ τυπτόμενοι τῶν τυπτομένων* ἀλλὰ καὶ *αἱ τυπτόμεναι τῶν τυπτομένων* βαρυτόνως. ἐπὶ δὲ τοῦ *ποιοῦντες* καὶ *ποιοῦσαι* οὐκ ἔτι· *ποιούντων* μὲν γὰρ τὸ ἀρσενικὸν βαρυτόνως, *ποιοῦσαι* δὲ *ποιουσῶν* περισπωμένως.

5 77. Ἐντεῦθεν τὸ *Ῥοδίαι* καὶ *Σαμίαι* καὶ τὰ τοιαῦτα· εἰ μὲν ἐθνικὰ εἴη, συμβαρύνει ταῖς ἀρσενικαῖς τὰς γενικάς, εἰ δὲ κύρια (ἐνδέχεται γὰρ *Ῥοδίαν* τινὰ καλεῖσθαι καὶ *Σαμίαν*), τότε περισπῶσι τὰς γενικάς· *Ῥοδιῶν* καὶ *Σαμιῶν*. διὰ τοῦτο *ἡμέραι* μὲν ἐπὶ τοῦ χρόνου *ἡμερῶν* περισπωμένως, *ἥμεραι* δὲ *ἡμέρων*
10 ἐπιθετικῶς βαρυτόνως, ἐπεὶ καὶ *οἱ ἥμεροι τῶν ἡμέρων*. τὸ *πόρναι πορνῶν* καὶ *πέτραι πετρῶν* καὶ *χῶραι χωρῶν* καὶ εἴ τι τοιοῦτον ἕτερον περισπᾷ τὴν ἰδίαν γενικὴν καίτοι ὁμοφωνοῦσαν τῷ ἀρσενικῷ βαρυνομένῳ (*οἱ πόρνοι τῶν πόρνων* καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως), ἐπεὶ μὴ ἐκ τῶν ἀρσενικῶν τὰ θηλυκὰ παρεσχημάτι-

5–10 Ἐντεῦθεν…ἡμέρων] Choer. I 409.12 οἱ Λύκιοι τῶν Λυκίων καὶ αἱ Λύκιαι τῶν Λυκίων· ἐπὶ δὲ τῆς χώρας αἱ Λυκίαι τῶν Λυκιῶν περισπωμένως, μονογενὲς γάρ **10–70,4** τὸ…ἀκολουθοῦντα] cf. Theod. I 41.1 Εἴποι τις οὖν, πῶς οἱ πόρνοι τῶν πόρνων βαρυτόνως, τὸ δὲ θηλυκὸν πόρναι πορνῶν περισπωμένως; μία φωνὴ καὶ οὐχ εἷς ὁ τόνος· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ πετρῶν ὀχθῶν κορῶν. Φημὶ οὖν ὅλα ταῦτα θηλυκὰ μονογενῆ εἶναι καὶ οὐκ ἀπὸ τῶν ἀρσενικῶν γεγενῆσθαι, διὸ καὶ ὡς μονογενῆ περιεσπάσθη, τὰ δὲ ἀρσενικὰ ἀπὸ τῶν θηλυκῶν παρωνύμως ἐσχηματίσθαι; Choer. I 410.1 Λέγει δὲ ὁ τεχνικός, ὅτι δοκεῖ ἀντικεῖσθαι τὸ πόρνοι πόρνων καὶ πόρναι πορνῶν, καὶ τὸ βάκχοι βάκχων καὶ βάκχαι βακχῶν, καὶ τὸ ὄχθοι ὄχθων καὶ ὄχθαι ὀχθῶν, καὶ τὸ πέτροι πέτρων καὶ πέτραι πετρῶν, καὶ τὸ χῆροι χήρων καὶ χῆραι χηρῶν, καὶ τὸ κοῦροι κούρων καὶ κοῦραι κουρῶν· ἐπὶ τούτων γὰρ μία φωνὴ τῆς γενικῆς τῶν πληθυντικῶν τοῦ ἀρσενικοῦ καὶ θηλυκοῦ, καὶ οὐκ ἔστιν εἷς ὁ τόνος· τὰ γὰρ θηλυκὰ περισπῶνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν. Καὶ ἐπιφέρει ἀπολογίαν λέγων, ὅτι οὐκ ἔστιν ἐπὶ τούτων τὰ θηλυκὰ παρεσχηματισμένα ἀπὸ τῶν ἀρσενικῶν, ἀλλὰ ταῦτα πάντα τὰ θηλυκὰ μονογενῆ εἰσι, καὶ ὡς μονογενῆ περιεσπάσθησαν, τὰ δὲ ἀρσενικὰ τοὐναντίον παρωνύμως ἐγένοντο ἀπὸ τῶν θηλυκῶν· ἡ γὰρ σημασία τούτων μᾶλλον τοῖς θηλυκοῖς ἁρμόζει. Τοιοῦτον δέ ἐστι καὶ τὸ παιδίσκη· ὥσπερ γὰρ ἀπὸ τοῦ λεκάνη γίνεται λεκανίσκη, οὕτω καὶ ἀπὸ τοῦ παῖς κοινοῦ ὄντος τῷ γένει (ὁ παῖς γὰρ καὶ ἡ παῖς) γίνεται ὁ παιδίσκος καὶ οἱ παιδίσκοι τῶν παιδίσκων βαρυτόνως, ἀπὸ δὲ τοῦ θηλυκοῦ τοῦ ⟨ἡ⟩ παῖς γίνεται ἡ παιδίσκη καὶ αἱ παιδίσκαι τῶν παιδισκῶν περισπωμένως ὡς μονογενές, ⟨ὡς τὸ⟩ «τῶν παιδισκῶν τινι / δούς» παρὰ τῷ Μενάνδρῳ ἐν τῷ Ἥρωϊ (fr. 7 Sandbach)

2 αἱ V: om. A **3** ποιοῦντες A: ποιούντων V **5** τὰ V: τὰ τὰ A **8** ἡμέραι V$A^{p.c.}$: ἡμέτεραι $A^{a.c.}$ **9** περισπωμένως V: om. A **10** ἡμέρων V (coni. Dindorf): ἡμερῶν A

σται, ἀλλ' ἔστιν ἡ πρώτη τούτων θέσις ἐπὶ τῶν θηλυκῶν· διὸ καὶ ὡς μονογενῆ περιεσπάσθη. τὰ δὲ ἀρσενικὰ ἀναλογώτερον κατὰ τὸ γένος τὴν παραγωγὴν πεποίηται, ὅθεν καὶ βαρυτονεῖ τὰς γενικὰς ταῖς ἰδίαις εὐθείαις ἀκολουθοῦντα. τὸ *μέσαι μεσῶν*, *ὑπάται ὑπατῶν*, *νεάται νεατῶν*, ἐπὶ τῶν χορδῶν, περισπῶμεν· κύρια 5 γάρ εἰσιν αὐτῶν ὀνόματα καὶ διὰ τοῦτο μονογενῆ. τὰ μέντοι γε ἐπιθετικὰ βαρύνεται, ἐπεὶ καὶ τὰ τούτων ἀρσενικά· «κοῦραι πετράων ἤριπον ἐξ *ὑπάτων*» [Call.(?) fr. 778 Pf.]. τὸ *χιλιῶν* φασὶ παρ' Ἀθηναίοις παραλόγως περισπᾶσθαι.

3–4 ὅθεν…ἀκολουθοῦντα] cf. § **74** Αἱ δὲ εἰς *-οι* λήγουσαι πληθυντικαὶ εὐθεῖαι βαρύτονοι βαρύνουσι καὶ τὰς ἰδίας γενικάς **4–8** τὸ…ὑπάτων] cf. Choer. I 409.13 οἱ ὕπατοι τῶν ὑπάτων καὶ αἱ ὕπαται τῶν ὑπάτων, «κοῦραι πετράων ἤριπον ἐξ ὑπάτων» [Call.(?) fr. 778 Pf.]· ἐπὶ δὲ τῆς χορδῆς ἡ ὑπάτη τῆς ὑπάτης καὶ αἱ ὑπάται τῶν ὑπατῶν περισπωμένως, μονογενὲς γάρ **8** χιλιῶν] cf. sch. Ar. Ach. 1055b χιλιῶν: περισπῶσιν Ἀττικοί; id. Eq. 660b; Su. χ 308 Χιλιῶν, δραχμῶν: περισπῶσιν οἱ Ἀττικοί; de χιλιῶν nihil refert Choer. I 411.1, sed loquitur de χιλιαδῶν ita: Λέγουσι δέ τινες τῶν τεχνικῶν, ⟨ὅτι δεῖ⟩ προστιθέναι «χωρὶς τῶν ἀριθμητικῶν παρὰ τοῖς Ἀθηναίοις τοῖς μεταγενεστέροις»· ἔστι γὰρ χιλιάδες καὶ μυριάδες, καὶ παρ' ἡμῖν μὲν χιλιάδων καὶ μυριάδων λέγεται βαρυτόνως ἡ γενικὴ τῶν πληθυντικῶν, παρὰ δὲ τοῖς Ἀθηναίοις χιλιαδῶν καὶ μυριαδῶν περισπωμένως

2 μονογενῆ V: μονογ[ε] A | τὰ A: *ὰ V, τ lit. a rubr. neglecta | ἀναλογώτερον scripsi: ποιητικώτερον AV, ob sequens πεποίηται **3** βαρυτονεῖ scripsi: βαρυτονοῦσι AV **4** μεσῶν Lentz 426.8: μέσῶν cum duobus accentibus V: μέσων A | ὑπάται Lentz 426.8, cf. Choer. I 403.28 καὶ πάλιν ὑπάτη καὶ ὑπάται παροξυτόνως ἐπὶ τῆς χορδῆς: ὕπαται AV **5** ὑπατῶν Lentz 426.8: ὑπάτῶν cum duobus accentibus V: ὑπάτων A | νεάται Lentz 426.8: νέαται AV | νεατῶν Lentz 426.9: νεάτῶν cum duobus accentibus V: νεάτων A **7** βαρύνεται] βαρ[υ] A: βαρύνονται V **8** χιλιῶν Lehrs[2] 45: χολιῶν AV: χιλιαδῶν Dindorf praef. viii παρ' A: παρὰ V

78. Ἐκ δὲ τοῦ ἐναντίου εἴ τι μὲν ἀρσενικὸν εἰς -*αι* τὴν εὐθεῖαν ἔχοι, τὸ δὲ θηλυκὸν εἰς -*ες*, ἡ μὲν τοῦ ἀρσενικοῦ περισπᾶται, ἡ δὲ τοῦ θηλυκοῦ βαρύνεται· *αἱ Δαναΐδες* μέντοι *τῶν Δαναΐδων* βαρυτόνως, *οἱ Δαναΐδαι* δὲ *τῶν Δαναϊδῶν* περισπωμένως.
5 ὅμοιον ἔχει καὶ *οἱ Ταντα λίδαι τῶν Ταντα λιδῶν*, *αἱ Ταντα λίδες* δὲ *τῶν Ταντα λίδων* βαρυτόνως.

1–6 Ἐκ…βαρυτόνως] Choer. I 410.19 Λέγουσι δέ τινες, ὅτι δεῖ προσθεῖναι «χωρὶς τῶν εἰς -ες θηλυκῶν»· ἔστι γὰρ οἱ Δαναΐδαι τῶν Δαναϊδῶν καὶ οἱ Πριαμίδαι τῶν Πριαμιδῶν περισπωμένως, αἱ Δαναΐδες δὲ τῶν Δαναΐδων καὶ αἱ Πριαμίδες τῶν Πριαμίδων βαρυτόνως, καὶ ἰδοὺ ὁμοφωνοῦσι ταῦτα κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν καὶ οὐχ ὁμοτονοῦσιν. Οὗτοι δὲ οὐκ ἐσκέψαντο τὸν κανόνα· ὁ γὰρ κανὼν περὶ τῶν εἰς -αι θηλυκῶν λέγει τῶν παρεσχηματισμένων ἀρσενικοῖς, οὐ μὴν περὶ οἱουδήποτε θηλυκοῦ παρεσχηματισμένου ἀρσενικοῖς· ταῦτα δὲ οὐκ εἰσὶν εἰς τὴν -αι δίφθογγον λήγοντα ἀλλ' εἰς -ες, καὶ λοιπὸν τῷ λόγῳ τῶν εἰς -ες θηλυκῶν πληθυντικῶν τῶν ὑπὲρ δύο συλλαβὰς ὑπάγονται, περὶ ὧν εὐθέως ἐροῦμεν (i.q. ad p. 411.6 de quo vid. infra); Theod. I 41.6 Αἱ μέντοι εἰς -ες εὐθεῖαι τῶν πληθυντικῶν ὑπὲρ δύο συλλαβὰς βαρύνουσι τὰς γενικάς, κἂν ὁμοφωνήσωσι τοῖς εἰς -αι ἀρσενικοῖς· οἱ Ἰλιάδαι γὰρ τῶν Ἰλιαδῶν καὶ οἱ Δαναΐδαι τῶν Δαναϊδῶν περισπωμένως, αἱ Ἰλιάδες δὲ καὶ αἱ Δαναΐδες τῶν Δαναΐδων καὶ τῶν Ἰλιάδων βαρυτόνως; Choer. I 411.6 Ἰστέον δέ, ὅτι κἂν εὑρεθῶσιν ὁμοφωνοῦσαι αἱ ἀπὸ τῶν εἰς -ες πληθυντικῶν εὐθειῶν γενικαὶ θηλυκαὶ ταῖς ἀρσενικαῖς γενικαῖς ταῖς ἀπὸ τῶν εἰς -αι εὐθειῶν περισπωμέναις, οὐκ ἀναγκάζονται συντονοῦσθαι αὐταῖς, οἷον οἱ Ἰλιάδαι [γὰρ] τῶν Ἰλιαδῶν περισπωμένως καὶ οἱ Δαναΐδαι τῶν Δαναϊδῶν καὶ οἱ Πριαμίδαι τῶν Πριαμιδῶν· τὰ μέντοι θηλυκὰ βαρυτόνως ἀναγινώσκονται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον αἱ Ἰλιάδες τῶν Ἰλιάδων καὶ αἱ Δαναΐδες τῶν Δαναΐδων καὶ αἱ Πριαμίδες τῶν Πριαμίδων, καὶ ὅσα τοιαῦτα τῷ προλεχθέντι κανόνι τῶν εἰς -ες ὑπὲρ δύο συλλαβὰς ἀκολουθοῦσιν.

1 εὐθεῖαν A: εὐθείαν V **2** ἔχοι τὸ V: ἔχοιτο A **3** Δαναΐδων VA$^{p.c.}$: δαναῶν A$^{a.c.}$
6 Ταντα λίδων AV$^{p.c.}$: ταντα λιδῶν V$^{a.c.}$ | βαρυτόνως A: περισπωμένως V

79. Πᾶσα εὐθεῖα δισύλλαβος εἰς -ες λήγουσα πληθυντικὴ

1–76,13 Πᾶσα…ἐντελεστέρου] canonem affert Hrd. ap. sch. N 103a θώων {παρδαλίων τε}: Ἀρίσταρχος βαρύνει τὸ (4) θώων, καὶ ἐπείσθη ἡ παράδοσις. ὁ δὲ Πάμφιλος περισπᾷ, ἐπεὶ τὰ εἰς -ες λήγοντα δισύλλαβα ὀνόματα ἐπὶ εὐθείας πληθυντικῆς ἔχει γενικὴν περισπωμένην· διὸ καὶ τὸ (2) «Τρώων» (A 152 al.) καὶ (3) «δμώων» (α 398al.) καὶ (5) «παίδων» (Θ 57 al.) ἀνεγίνωσκε περισπῶν, ἔτι δὲ καὶ τὸ (6) «πάντων» (A 78 al.) καὶ (8) «λάων» (M 29. Φ 314) καὶ (1) «τίνων», περὶ ὧν λόγον ἔδωκαν καὶ οἱ πρὸ ἡμῶν καὶ ἡμεῖς (unde Eust. Il. III 445.16); sch. N 103c (D/Ori ὀρθ.(?)) ... τὸ δὲ θώων (4) ἔνιοι περισπῶσιν, ἵν' ὁμοτονῇ τῷ «θηρῶν» (Θ 47 al.) καὶ «κυνῶν» (K 186 al.) ⟨ἡ δὲ παράδοσις βαρυτόνως⟩ (add. Lehrs[3] 251). οὕτως δὲ καὶ Ἀρίσταρχόν φασι προφέρεσθαι. Διοκλῆς (fr. 64* H.) καὶ ὁ Θρᾷξ Διονύσιος (fr. 18 Schm. = 6 L.) ὡς βαρύνοντα τὴν λέξιν τὸν Ἀρίσταρχον διαβάλλουσιν. Κάσσιος δὲ ἀπολογούμενος ὑπὲρ τῆς βαρυτονήσεώς φησιν ὅτι τὰ μονοσύλλαβα, ὅταν μὲν ἔχῃ τὴν πληθυντικὴν ἐπὶ τῆς τελευταίας συλλαβῆς μετὰ συμφώνου λεγομένην, πάντως καὶ κατὰ τὴν γενικὴν περισπᾶται, οἷον θῆρες, «κύνες» (N 623 al.), «χεῖρες» (A 166 al.), ὅταν δὲ ἀπὸ φωνήεντος ἀρχομένην, πάντως βαρυτονουμένην, οἷον «Τρῶες» (2) (A 256 al.), «δμῶες» (3) (δ 644 al.) , «θῶες» (4) (Λ 474 al.), λᾶες (8). ἀντίκειται δὲ αὐτῷ τὸ «παίδων» (5) (Θ 57 al.) καὶ «πάντων» (6) (A 78 al.). Χαῖρις (fr. 5 B.) δέ φησιν οὐκ εἶναι ἐν †δισυλλάβοις† ἀναλογίαν; vid. Erbse ad loc.); Theod. I 40.10 Αἱ μὲν εἰς -ες δισύλλαβοι εὐθεῖαι πληθυντικαὶ περισπῶσι τὰς γενικάς, μηνῶν χηνῶν γραῶν, ἐννέα σεσημειωμένων, (1) τίνων, (6) πάντων, (2) Τρώων, (3) δμώων, (5) παίδων, (4) θώων, (9) κράτων, (7) δᾴδων, (8) λάων; Choer. I 404.32 Κανονίζει τὴν γενικὴν τῶν πληθυντικῶν τοῦτον τὸν τρόπον· πᾶσα εὐθεῖα πληθυντικῶν εἰς -ες λήγουσα δισύλλαβος ἐπ' ὀνομάτων περισπᾷ τὴν ἰδίαν γενικήν, οἷον μῆνες μηνῶν, χῆνες χηνῶν, φῶτες φωτῶν, ἄνδρες ἀνδρῶν, χεῖρες χειρῶν, βόες βοῶν, σύες συῶν, μύες μυῶν· πρόσκειται «δισύλλαβος» διὰ τὸ Αἴαντες Αἰάντων, Θόαντες Θοάντων, Λάχητες Λαχήτων, λέβητες λεβήτων· ταῦτα γὰρ οὐ περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, ἀλλ' οὐκ εἰσὶ δισύλλαβα· πρόσκειται «ἐπ' ὀνομάτων» διὰ τὰς μετοχάς· αὗται γὰρ βαρύνονται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον δόντες δόντων, θέντες θέντων, φθάντες φθάντων, στάντες στάντων, (Γ 210) στάντων μὲν Μενέλαος ὑπείρεχεν εὐρέας ὤμους. Σημειούμεθα ⟨δὲ⟩ ἐν τῷ κανόνι ἐννέα τινὰ ὡς μὴ περισπασθέντα κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν· εἰσὶ δὲ ταῦτα, (2) Τρῶες Τρώων, (1) τίνες τίνων, (6) πάντες πάντων, (3) δμῶες δμώων, (5) παῖδες παίδων, (4) θῶες θώων (ἔστι δὲ θηρίου εἶδος· οἱ γὰρ ταχεῖς θοοὶ λέγονται), (9) κρᾶτες κράτων (αἱ κεφαλαί), (7) δᾷδες δᾴδων, (8) λᾶες λάων. Ταῦτα δὲ τὰ σεσημειωμένα δοκοῦσί τινες ὑπὸ ἀναλογίαν ἄγειν· λέγουσι γάρ, ὅτι τὸ (2) Τρῶες Τρώων καὶ (3) δμῶες δμώων καὶ (4) θῶες θώων καὶ (5) παῖδες παίδων ἐβαρύνθησαν πρὸς ἀντιδιαστολὴν τοῦ αἱ Τρῳαί (σημαίνει δὲ τὰς Τρωϊκὰς γυναῖκας) καὶ αἱ δμῳαί (σημαίνει δὲ τὰς δούλας) καὶ αἱ θῳαί (ἐπὶ τῆς ζημίας) καὶ αἱ πέδαι (ἐπὶ τῶν δεσμῶν)· ταῦτα γὰρ περισπῶσι τὰς γενικὰς τῶν πληθυντικῶν, οἷον Τρῳῶν

1 Πᾶσα A: *ᾶσα V, lit. π a rubr. neglecta

δηλονότι περισπᾷ τὴν ἰδίαν γενικήν (*μῆνες μηνῶν*, *ἄνδρες*

δμῳῶν θῳῶν πεδῶν. Πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι κακῶς λέγετε· εἰ γὰρ καὶ τῷ τόνῳ συνέπιπτον, ἀλλ᾽ οὖν τῇ γραφῇ διεστέλλοντο· ἡ γὰρ γραφὴ οὐκ ἔστιν ἡ αὐτή, τὸ μὲν γὰρ Τρῳαί καὶ δμῳαί καὶ θῳαί ἔχουσι τὸ ι προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν, τὸ δὲ Τρῶες δμῶες θῶες οὐκ ἔχουσι τὸ ι προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν· καὶ πάλιν τὸ παῖδες κατὰ τὴν παραλήγουσαν διὰ τῆς αι διφθόγγου γράφεται, τὸ δὲ πέδαι διὰ τοῦ ε ψιλοῦ. Τὸ δὲ (1) τίνες τίνων πρὸς ἀντιδιαστολὴν τοῦ τινῶν λέγουσι βαρύνεσθαι· δεῖ γὰρ γινώσκειν, ὅτι τοῦτο πευστικὸν μὲν ὂν βαρύνεται, ἀνταποδοτικὸν δὲ ἤγουν ἀόριστον ⟨ὂν⟩ περισπᾶται, οἷον τίνων ἤκουσας; τινῶν· καὶ τὸ (8) λᾶες δὲ λάων πρὸς ἀντιδιαστολὴν τοῦ οἱ λαοί τῶν λαῶν λέγουσι βαρύνεσθαι· τοῦτο δὲ καλῶς ἔχει. Καὶ τὸ (9) κρᾶτες δὲ κράτων πρὸς ἀντιδιαστολὴν τοῦ τὰ κράτη τῶν κρατῶν λέγουσι βαρύνεσθαι··τὸ δὲ (7) δᾷδες δᾴδων οὐκ ἔστι φύσει δισύλλαβον· ἀπὸ γὰρ τοῦ δαΐδων κατὰ συναίρεσιν ἐγένετο δᾴδων, καὶ ἐφύλαξε τὴν αὐτὴν τάσιν· μηδεὶς δὲ οἰέσθω, τὴν δᾳδός γενικὴν τῶν ἑνικῶν ἀπὸ ἐντελοῦς τῆς δαΐδος γενέσθαι κατὰ συναίρεσιν, ἐπεὶ εἶχε καὶ αὐτὴ βαρύνεσθαι· ἀλλ᾽ ἐν τῇ εὐθείᾳ ἐγένετο ἡ συναίρεσις, οἷον δαΐς δᾴς, κἀκεῖθεν ἡ κλίσις. Τὸ δὲ (6) πάντων λέγουσιν, ὅτι ἀπὸ τοῦ ἅπαντες ἁπάντων ἐγένετο κατὰ ἀφαίρεσιν, καὶ ἐφύλαξε τὴν βαρεῖαν τάσιν· τοῦτο δὲ οὐκ ἔστι καταναγκαστικόν· ἰδοὺ γὰρ καὶ ἐπὶ τοῦ ἅπας ἅπαντος ἡ γενικὴ τῶν ἑνικῶν ἡ παντός, γινομένη κατὰ ἀφαίρεσιν τοῦ α, οὐκ ἐφύλαξε τὴν βαρεῖαν τάσιν ἀλλ᾽ ἐγένετο ἐν ὀξείᾳ τάσει παντός, πρὸς τὸν χαρακτῆρα τῶν εἰς -ος δισυλλάβων γενικῶν ὀνομάτων, οἷον ὥσπερ μηνός χηνός γραός παιδός φωτός βοός φρενός χθονός· ἕτεροι δὲ λέγουσιν, ὅτι ἐπειδὴ ἡ δοτικὴ τῶν πληθυντικῶν ἡ πᾶσι βαρύνεται, τούτου χάριν καὶ ἡ γενικὴ τῶν πληθυντικῶν ἡ πάντων βαρύνεται· οὐδ᾽ οὗτοι δὲ ἀκριβῶς λέγουσιν· ἰδοὺ γὰρ καὶ ἡ Τρωσί καὶ παισί δοτικὴ τῶν πληθυντικῶν ὀξύνεται, καὶ ὅμως ἡ Τρώων καὶ παίδων γενικὴ τῶν πληθυντικῶν βαρύνεται. Ταῦτα μὲν ἐν τούτοις; praecedentibus novem paroxytonis bisyllabis genetivis pluralibus addidit sequentes Choer. I 406.14: Ἰστέον δὲ ὅτι μὴ μόνον ταῦτα τὰ ἐννέα σεσημειωμένα ⟨εἰσίν⟩, ἀλλὰ καὶ τὸ σέες σέων (ἐπὶ τῶν σκωλήκων), ὡς παρὰ Ἀριστοφάνει (Lys. 730) ὑπὸ τῶν σέων καταπονούμενον, καὶ τὸ ⟨φῷδες⟩ φῴδων, ὡς παρὰ Ἀριστοφάνει (Plut. 53) πλὴν φῴδων ἐκ βαλανείου (σημαίνει δὲ τὰ καύματα τῶν χειρῶν)· ἔτι δὲ καὶ τὸ οὐδένες οὐδένων, καὶ τοῦτο γὰρ βαρυτόνως ἐπεκράτησεν ἀναγινώσκεσθαι· καὶ τοῦ Φθάς Φθάντος κυρίου ὀνόματος ἐὰν κλίνωμεν τὰ πληθυντικά, βαρυτόνως λέγομεν τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Φθάντων, τῷ λόγῳ τῶν μετοχῶν, ὥσπερ στάντες στάντων, βάντες βάντων, δόντες δόντων· μετοχικὸν γάρ ἐστι, καὶ λοιπὸν τὸν τόνον τῆς φθάντες φθάντων μετοχῆς ἀνεδέξατο, φημὶ δὴ τῆς σημαινούσης τὸ προλαβόντων; Choeroboscus I 406.24 accentum omnium bisyllaborum genetivorum pluralium tertiae declinationis explicat regula utens cui Herodianus adversatur: Ἔστιν οὖν ἀπολογήσασθαι περὶ ὅλων τῶν σεσημειωμένων οὕτως· τὰ εἰς -ς λήγοντα μονοσύλλαβα περιττοσυλλάβως κλινόμενα ταύτην ἔχουσι τὴν διαίρεσιν· τὰ μὲν

1 περισπᾷ scripsi (cf. § **81** init.): περισπᾶται AV

ἀνδρῶν, θῆτες θητῶν καὶ τὰ ἄλλα ὁμοίως) ἐννέα σεσημειωμέ-

ὀξύτονα, ἐὰν μὲν διὰ συμφώνου κλίνωνται, περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον σής σητός σῆτες σητῶν, Κρής Κρητός Κρῆτες Κρητῶν, θής θητός θῆτες θητῶν (σημαίνει δὲ τὸν μισθωτόν), Γνής Γνητός Γνῆτες Γνητῶν· ἐὰν δὲ διὰ καθαροῦ τοῦ ος κλιθῶσι, βαρύνονται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον Τρώς Τρωός Τρῶες Τρώων, δμώς δμωός δμῶες δμώων, θώς θωός θῶες θώων (ἔστι δὲ εἶδος θηρίου), σεύς σεός σέες σέων (σημαίνει δὲ τοὺς σκώληκας) [τούτῳ γὰρ τῷ κανόνι βαρύνονται]. Τὸ δὲ τίνων καὶ κράτων πρὸς διάφορον σημασίαν διάφορον ἔχουσι καὶ τὸν τόνον· τὸ γὰρ τίνων πευστικὸν μὲν ὑπάρχον βαρύνεται, ἀνταποδοτικὸν δὲ ἤγουν ἀόριστον ⟨ὂν⟩ περισπᾶται, οἷον τίνων ἤκουσας; τινῶν· καὶ τὸ κράτων δὲ ἀπὸ τοῦ ⟨οἱ⟩ κρᾶτες (ὃ σημαίνει τὴν κεφαλήν) ὑπάρχον βαρύνεται, ἀπὸ δὲ τοῦ τὰ κράτη ὑπάρχον περισπᾶται, οἷον τὰ κράτη τῶν κρατῶν· τὸ δὲ φῴδων καὶ δᾴδων ἀπὸ τοῦ φωΐδων καὶ δαΐδων γινόμενα κατὰ συναίρεσιν τὴν βαρεῖαν τάσιν ἐφύλαξαν. Ταῦτα μὲν περὶ τῶν ὀξυτόνων. Τὰ δὲ περισπώμενα ἐκ τοῦ ἐναντίου γίνονται· ἐὰν μὲν γὰρ διὰ καθαροῦ τοῦ ος κλίνωνται, περισπῶσι τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον μῦς μυός μύες μυῶν, βοῦς βοός βόες βοῶν, σῦς συός σύες συῶν, δρῦς δρυός δρύες δρυῶν· ἐὰν δὲ διὰ συμφώνου κλίνωνται, βαρύνονται ἐν τῇ γενικῇ τῶν πληθυντικῶν, οἷον παῖς παιδός παῖδες παίδων, πᾶς παντός πάντες πάντων· τὸ δὲ λάων ἐβαρύνθη πρὸς ἀντιδιαστολὴν τοῦ οἱ λαοί τῶν λαῶν· ἄλλως τε δὲ οὔτε ἔστι τοῦτο ἀπὸ μονοσυλλάβου εὐθείας τῆς λᾶς, ἀλλ' ἀπὸ δισυλλάβου τῆς λᾶας· ἀπὸ γὰρ τοῦ λᾶας γέγονεν ἡ γενικὴ λάαος, καὶ κατὰ κρᾶσιν τῶν δύο αα εἰς ἓν α δηλονότι μακρὸν λᾶος, οἷον (Μ 462) λᾶος ὑπὸ ῥιπῆς, καὶ λοιπὸν ἡ εὐθεῖα τῶν πληθυντικῶν λάαες λᾶες καὶ ἡ γενικὴ λαάων λάων. Ταῦτα μὲν ἐν τούτοις. (huic canoni Herodianus adversatur:) Δοκεῖ δὲ ὁ Ἡρωδιανὸς λαμβάνεσθαι τούτου τοῦ κανόνος, καὶ λέγει ὅτι κακῶς λαμβάνει τὸν κανόνα· πρῶτον μὲν γὰρ ὅτι ἀπὸ τῶν σεσημειωμένων πλέκει τὸν κανόνα, δεύτερον δὲ ὅτι ἀντίκειται τούτοις τὸ κίς κιός καὶ λίς λιός· ταῦτα γὰρ ὀξύνονται κατὰ τὴν εὐθεῖαν τῶν ἑνικῶν καὶ διὰ καθαροῦ τοῦ ος κλίνονται, καὶ ὅμως οὐ βαρύνονται ἐν τῇ γενικῇ τῶν πληθυντικῶν ἀλλὰ περισπῶνται, κιῶν γὰρ καὶ λιῶν περισπωμένως. (Choeroscus ab Herodiani sententia recedit:) Ἔστι δὲ εἰπεῖν πρὸς αὐτὸν ὅτι κακῶς κατατρέχεις τοῦ κανόνος· πρῶτον μὲν γὰρ ὅτι, εἰ καί, ὡς λέγεις, ἀπὸ τῶν σεσημειωμένων πέπλεκται ὁ κανών, οὐκ ἄτοπον καὶ ἀπὸ τριῶν καὶ ἀπὸ τεσσάρων πλέκειν κανόνα· καὶ σὺ γὰρ κέχρησαι διαφόροις κανόσι τοιούτοις, πλέκεις γὰρ κανόνα καὶ ἀπὸ δύο παραδειγμάτων· πολλῷ οὖν μᾶλλον ἀπὸ πλειόνων παραδειγμάτων πλεκόμενος ὁ κανὼν οὐδεμίαν μέμψιν ἑαυτῷ προσφέρει· δεύτερον δὲ οὐχ, ὡς λέγεις αὐτός, ἀπὸ τῶν σεσημειωμένων πέπλεκται ὁ κανών, ἀλλὰ καθόλου πάντα τὰ εἰς ς λήγοντα μονοσύλλαβα περιττοσυλλάβως κλινόμενα περιλαμβάνει ὁ κανών, εἴτε ὀξύτονά εἰσιν εἴτε περισπώμενα, ὡς ἐπὶ τοῦ Κρής Κρητός, σής σητός, δρῦς δρυός, μῦς μυός, βοῦς βοός· ταῦτα δὲ οὐκ εἰσὶν ἐκ τῶν σεσημειωμένων. Περὶ μέντοι τοῦ κίς κιός καὶ λίς λιός, ὅτι λέγει ταῦτα ἀντικεῖσθαι τῷ κανόνι, αὐτὸς ἐν

1 ἐννέα Dindorf praef. viii: ἐνέα A: de V non constat

νων, περὶ ὧν καὶ λόγον δίδομεν· (1) *τίνων*, ὅτε πυσματικῶς πρὸς ἀντιδιαστολὴν τοῦ ἀορίστου· ἐκεῖνο γὰρ περισπᾶται· (2) *Τρῶες Τρώων*, (3) *δμῶες δμώων*, ἵνα ἐκφύγωσι τὸ *αἱ Τρωαί τῶν Τρωῶν* καὶ *αἱ δμωαί τῶν δμωῶν* ὀξυνόμενα κατὰ τὰς εὐθείας
5 καὶ διὰ τοῦτο περισπῶντα τὰς γενικάς· (4) *θῶες θώων* διὰ τὸ *θωή*, ὃ σημαίνει τὴν ζημίαν, *αἱ θωαί τῶν θωῶν*· (5) *παῖδες παίδων*, οὐ πρὸς ἀντιδιαστολήν, ὥς τινες ἐνόμισαν, τοῦ *αἱ πέδαι*

ἑτέροις ἐσημειώσατο, λέγων ἡμαρτημένα εἶναι εἴτε κατὰ τόνον εἴτε κατὰ κλίσιν· ἢ γάρ, φησίν, ὀξύτονα ὄντα ὤφειλον διὰ συμφώνου κλίνεσθαι, εἴτε διὰ καθαροῦ τοῦ ος κλινόμενα οὐκ ὤφειλον ὀξυτονεῖσθαι κατὰ τὴν εὐθεῖαν· τὰ γὰρ εἰς ις ὀξύτονα οὐδέποτε διὰ καθαροῦ τοῦ ος κλίνονται, ⟨οἷον⟩ ἀσπίς ἀσπίδος, βολίς βολίδος, κρηπίς κρηπῖδος, κνημίς κνημῖδος, βασιλίς βασιλίδος. Καὶ κέχρηται τοιούτῳ παραδείγματι, ὅτι ὥσπερ Πάρις Πάριδος καὶ Θέτις Θέτιδος καὶ μῆνις μήνιδος, ἐπειδὴ βαρύτονά εἰσι κατὰ τὴν εὐθεῖαν, γίνονται παρὰ τοῖς Ἴωσι διὰ καθαροῦ τοῦ ος κατὰ τὴν γενικήν, οἷον Πάριος Θέτιος μήνιος—ἴδιον γάρ ἐστι τῶν εἰς ις βαρυτόνων τὸ διὰ καθαροῦ τοῦ ος κλίνεσθαι, οἷον ὄφις ὄφιος, μάντις μάντιος, πόλις πόλιος—τὰ μέντοι εἰς ις ὀξύτονα, οἷον κρηπίς κρηπῖδος, ἀσπίς ἀσπίδος, ῥανίς ῥανίδος, οὐ γίνονται παρὰ τοῖς Ἴωσι διὰ καθαροῦ τοῦ ος—τοῦτο γὰρ ἀλλότριόν ἐστι τῶν εἰς ις ὀξυτόνων, λέγω δὴ τὸ ἔχειν ⟨τὴν⟩ γενικὴν διὰ καθαροῦ τοῦ ος ἐκφερομένην—οὕτω καὶ τὸ κίς καὶ τὸ λίς ὀξυνόμενα καὶ εἰς ις λήγοντα οὐκ ὤφειλον ἔχειν τὴν γενικὴν διὰ καθαροῦ τοῦ ος, ἢ ἔχοντα τὴν γενικὴν διὰ καθαροῦ τοῦ ος οὐκ ὤφειλον ὀξύνεσθαι κατὰ τὴν εὐθεῖαν ἀλλὰ δηλονότι περισπᾶσθαι. Εἰ ἄρα οὖν αὐτὸς παρέθετο τὸ κίς καὶ τὸ λίς παράλογα ἢ κατὰ τόνον ἢ κατὰ κλίσιν, πῶς λέγει ταῦτα ἐναντιοῦσθαι τῷ κανόνι τούτῳ, φημὶ δὴ τῷ περὶ τῆς γενικῆς τῶν πληθυντικῶν; ὥστε οὖν οὐχ ὑγιῶς τέθεικε ταῦτα τὰ παραδείγματα ἐναντιούμενα τῷ κανόνι τούτῳ; Ep. Hom. τ 61 (2, 3, 4, 6, 8, 5) l. 31 sqq.; sch. τ 121 μή τις μοι δμῳῶν] δμῳῶν σὺν τῷ ι καὶ περισπωμένως, θηλυκὸν γάρ ἐστι. οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανός
4–5 ὀξυνόμενα…γενικάς] causa allata parum valida, cf. § **75**

2–3 Τρῶες Τρώων Dindorf: τρῷες τρῴων A: τρῶες τρῴων V **3** δμῶες δμώων Dindorf: δμῷες δμῴων AV **3–4** Τρωαί…Τρωῶν A, sic scripsisse videtur Iohannes (cf. infra *παῖδες παίδων*, οὐ πρὸς ἀντιδιαστολήν, ὥς τινες ἐνόμισαν, τοῦ *αἱ πέδαι τῶν πεδῶν* ἐπὶ τῶν δεσμῶν· ἡ γὰρ γραφὴ τὴν διαστολὴν ποιεῖται· τοῦτο μὲν γὰρ διὰ τοῦ ε ἐπὶ τῶν δεσμῶν, ἐκεῖνο δὲ διὰ τῆς αι διφθόγγου; de Herodiano ipso cf. Lentz ad 426.28): Τρῳαί ... Τρῳῶν V (cf. Choer. I 405.20) **4** δμωαί… δμωῶν A, sic scripsisse videtur Iohannes: δμῳαί ... δμῳῶν V (cf. Choer. l.c. et sch. τ 121 μή τις μοι δμῳῶν] δμῳῶν σὺν τῷ ι καὶ περισπωμένως, θηλυκὸν γάρ ἐστι. οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανός) **5** περισπῶντα scripsi (cf. § **81** init.): περισπῶνται AV **6** θωαί…θωῶν AV et sic scripsisse Iohannem puto pro θῳαί ... θῳῶν (de qua forma v. Choer. l.c.; Theogn. 108.12, can. 646) | παῖδες V: παίδες A **7–76,1** πέδαι…πεδῶν V (coni. Dindorf): παίδαι ... παιδῶν A

τῶν πεδῶν ἐπὶ τῶν δεσμῶν· ἡ γὰρ γραφὴ τὴν διαστολὴν ποιεῖται· τοῦτο μὲν γὰρ διὰ τοῦ -ε- ἐπὶ τῶν δεσμῶν, ἐκεῖνο δὲ διὰ τῆς -*αι*- διφθόγγου· ἀλλ' ἴσως, ἐπειδὴ ὡς ἀπὸ ἐντελεστέρου τοῦ *πάϊς* γέγονεν, ὡς μὴ εἶναι φύσει δισύλλαβον· ἔτι ἐστὶ (6) *πάντες πάντων*, οὐχ ὅτι ἐκ τοῦ *ἁπάντων*, ὥς τινές φασιν, ἀφαιρέσει τοῦ *α*- γέγονεν, 5
ἐπεὶ ἔδει καὶ τὸ *παντός* καὶ τὸ *παντί* βαρύνεσθαι ἐκ τοῦ *ἅπαντος*, *ἅπαντι* ἀφῃρημένα, ἀλλ' ὅτι μετοχῆς εἴληφεν ἀναλογίαν, ὡς ἐν τῷ περὶ δοτικῶν δέδεικται, ᾧ λόγῳ καὶ τὸ *πᾶσι* βεβαρυτόνηται, ὡς *στᾶσι*, *δοῦσιν*· ἔτι (7) *δᾷδες δᾴδων*· *δαΐδες δαΐδων* γὰρ τρισύλλαβον τὸ ἐντελές· ἔτι (8) *λᾶες λάων*· τὸ γὰρ ἐντελὲς ἀπὸ 10
τοῦ *λᾶας λάαες λαάων* πάλιν τρισυλλάβως· ἔνατόν ἐστι τὸ (9) *κρᾶτες* ⟨*κράτων*⟩ («⟨κράτων⟩ τυπτομένων», χ 309, ω 184), ἴσως ὡς ἀπὸ τοῦ *κραάτων* ἐντελεστέρου.

8–9 ᾧ…δοῦσιν] vid. § **47**

2 *διὰ*[1]…*δεσμῶν* sic textum refinxi: *διὰ τὸ ἐπὶ τῶν δεσμῶν* ε AV: τὸ ἐπὶ τῶν δεσμῶν διὰ ⟨τοῦ⟩ ε Bloch **4** *δισύλλαβον* Dindorf: *δισύλλ*[α] A: *δισύλλαβος* V **5** ἀπάντων scripsi: ἅπαντες AV **8** *δοτικῶν* scripsi coll. § **47**: *μετοχῶν* AV **9** δᾷδες A: δᾴδες V **10** τρισύλλαβον] τρισύλλ[α] V: τρισυλλ[α], sine accentu, A λᾶες Dindorf: λάες AV **11** λᾶας Lentz 427.7: λάας AV | τρισυλλάβως V: τρισυλλ´ A **12** κρᾶτες Dindorf: κράτες AV | κράτων[1] add. Dindorf praef. viii coll. Choer. I 405.29 | κράτων[2] add. Dindorf praef. viii | ἴσως V: ἵσως A **13** ἐντελεστέρου A: ἐντελέστερον V

80. Αἱ εἰς -ες ὑπὲρ δύο συλλαβὰς εὐθεῖαι παροξύνουσι τὰς γενικάς· *Αἴαντες Αἰάντων, ἑβδομάδες ἑβδομάδων, εὐσεβέες εὐσεβέων, στάχυες σταχύων, ὀσφύες ὀσφύων.* ἔδει

1–78,5 Αἱ...περισπώμενα] cf. Theod. I 41.6 Αἱ μέντοι εἰς -ες εὐθεῖαι τῶν πληθυντικῶν ὑπὲρ δύο συλλαβὰς βαρύνουσι τὰς γενικάς, κἂν ὁμοφωνήσωσι τοῖς εἰς -αι ἀρσενικοῖς· οἱ Ἰλιάδαι γὰρ τῶν Ἰλιαδῶν καὶ οἱ Δαναΐδαι τῶν Δαναϊδῶν περισπωμένως, αἱ Ἰλιάδες δὲ καὶ αἱ Δαναΐδες τῶν Δαναΐδων καὶ τῶν Ἰλιάδων βαρυτόνως; Choer. I 410.29 Αἱ μέντοι εἰς -ες λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν ὑπὲρ δύο συλλαβὰς οὖσαι βαρύνουσι τὰς γενικὰς τῶν πληθυντικῶν, οἷον ἀσπίδες ἀσπίδων, βολίδες βολίδων, ῥανίδες ῥανίδων, Ξενοφῶντες Ξενοφώντων, Ποσειδῶνες Ποσειδώνων, Αἴαντες Αἰάντων, Θόαντες Θοάντων, Λάχητες Λαχήτων, πένητες πενήτων, Κίλικες Κιλίκων, Αἰθίοπες Αἰθιόπων, πήχεες πηχέων, πελέκεες πελεκέων, τοῦ τόνου καταβιβασθέντος ἐπὶ τούτων μίαν συλλαβὴν διὰ τὴν ἐπὶ τέλους φύσει μακράν· δεῖ προσθεῖναι «χωρὶς τοῦ γυναῖκες γυναικῶν καὶ θυγατέρες θυγατρῶν», (Z 252) Λαοδίκην ἐπάγουσα, θυγατρῶν εἶδος ἀρίστην· ταῦτα δὲ οὐ μόνον κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν εἰσι παράλογα ὡς περισπασθέντα, ἀλλὰ καὶ κατὰ τὴν γενικὴν τῶν ἑνικῶν ὡς ὀξυνόμενα, φημὶ δὴ τὴν γυναικός καὶ θυγατρός, ὡς ἐν τῷ περὶ αὐτῆς λόγῳ μεμαθήκαμεν. Λέγουσι δέ τινες τῶν τεχνικῶν, ⟨ὅτι δεῖ⟩ προστιθέναι «χωρὶς τῶν ἀριθμητικῶν παρὰ τοῖς Ἀθηναίοις τοῖς μεταγενεστέροις»· ἔστι γὰρ χιλιάδες καὶ μυριάδες, καὶ παρ' ἡμῖν μὲν χιλιάδων καὶ μυριάδων λέγεται βαρυτόνως ἡ γενικὴ τῶν πληθυντικῶν, παρὰ δὲ τοῖς Ἀθηναίοις χιλιαδῶν καὶ μυριαδῶν περισπωμένως. Ἰστέον δέ, ὅτι κἂν εὑρεθῶσιν ὁμοφωνοῦσαι αἱ ἀπὸ τῶν εἰς -ες πληθυντικῶν εὐθειῶν γενικαὶ θηλυκαὶ ταῖς ἀρσενικαῖς γενικαῖς ταῖς ἀπὸ τῶν εἰς -αι εὐθειῶν περισπωμέναις, οὐκ ἀναγκάζονται συντονοῦσθαι αὐταῖς, οἷον οἱ Ἰλιάδαι [γὰρ] τῶν Ἰλιαδῶν περισπωμένως καὶ οἱ Δαναΐδαι τῶν Δαναϊδῶν καὶ οἱ Πριαμίδαι τῶν Πριαμιδῶν· τὰ μέντοι θηλυκὰ βαρυτόνως ἀναγινώσκονται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, οἷον αἱ Ἰλιάδες τῶν Ἰλιάδων καὶ αἱ Δαναΐδες τῶν Δαναΐδων καὶ αἱ Πριαμίδες τῶν Πριαμίδων, καὶ ὅσα τοιαῦτα τῷ προλεχθέντι κανόνι τῶν εἰς -ες ὑπὲρ δύο συλλαβὰς ἀκολουθοῦσιν. **3–78,3** ἔδει...εὐθειῶν] cf. Theod. I 41.14 τὸ πόλεων, λέξεων καὶ τὰ ὅμοια τοίνυν ὀφείλει πρὸ μιᾶς ἔχειν τὸν τόνον, Ἀμμώνιος δέ φησιν αὐτὰ παρὰ Ἀττικοῖς προπαροξύνεσθαι; Choer. I 412.17 Τούτων οὕτως ἐχόντων φησὶν ὁ τεχνικός, ὅτι τὸ πόλεων καὶ πράξεων καὶ ὄφεων καὶ μάντεων καὶ τὰ τοιαῦτα λέγει ὁ Ἀμμώνιος ἀναγινώσκεσθαι προπαροξυτόνως παρὰ τοῖς Ἀθηναίοις, τοῦ λόγου, ὡς λέγει ὁ τεχνικός, ἀπαιτοῦντος πρὸ μιᾶς ἔχειν ⟨αὐτὰ⟩ τὴν τάσιν διὰ τὴν ἐπὶ τέλους φύσει μακράν, ὥσπερ Δημοσθενέων καὶ Διομηδέων· καὶ θέλουσι λέγειν, ὅτι πρὸς τὴν γενικὴν τῶν ἑνικῶν προπαροξύνονται· ἐπειδὴ γὰρ ἡ γενικὴ τῶν ἑνικῶν διὰ τοῦ ε καὶ ω ἐστὶ καὶ προπαροξύνεται, οἷον πόλεως πράξεως ὄφεως μάντεως, τούτου χάριν καὶ ἡ γενικὴ τῶν πληθυντικῶν προπαροξύνεται, οἷον πόλεων πράξεων ὄφεων μάντεων. Εἰ δέ τις εἴποι, διατί γὰρ ἡ γενικὴ τῶν ἑνικῶν οὖσα διὰ τοῦ ε καὶ ω

1 παροξύνουσι scripsi: βαρύνουσι AV **2–3** εὐσεβέες A: εὐσεβὲς V

οὖν καὶ τὸ *πόλεων*, *μάντεων*, [*πελέκεων*] καὶ τὰ τούτοις παραπλήσια πρὸ μιᾶς ἔχειν τὸν τόνον, ἀλλ' Ἀττικούς φασι προπαροξύνειν ταῦτα ἅπερ ἐστὶν ἀπὸ τῶν εἰς -*ις* εὐθειῶν καὶ ἔτι δύο ἀπὸ τῶν εἰς -*υς*, τό τε *πήχεων* καὶ *πελέκεων*. σεσημείωται πάλιν *γυναικῶν* καὶ *θυγατρῶν* περισπώμενα. 5

81. Αἱ δὲ εἰς -*εις* εὐθεῖαι συνῃρημέναι εἰσὶ καὶ περισπῶσι τὰς ἰδίας γενικάς, ὡς ἤδη εἴπομεν· *Σωκράτεις Σωκρατῶν*, *Δημοσθένεις Δημοσθενῶν*. τὸ *δυσωδων* καὶ *εὐωδων* τῷ λόγῳ

προπαροξύνεται, λέγομεν, ὅπερ λέγει ὁ τεχνικὸς ἐν τῇ τῆς γενικῆς τῶν ἑνικῶν διδασκαλίᾳ, ὅτι τὸ πόλεως πράξεως ὄφεως μάντεως Ἀττικά, ἀπὸ τοῦ πόλιος πράξιος ὄφιος μάντιος γεγονότα, τῶν κοινῶν ἐφύλαξαν τὴν τάσιν.
3–4 καὶ…πελέκεων] cf. § **81** et Eust. Od. II 329.27 οὐ γὰρ Ἀττικῶς ὁ ἥμισυς κλίνεται, ἵνα καὶ προπαροξύνωνται αἱ μετὰ τὴν εὐθεῖαν πλάγιοι κατὰ τὸ πῆχυς πήχεως πήχεων καὶ πέλεκυς πελέκεως πελέκεων **4** πάλιν] vid. §§ **44**, **47**, **48**, **65** **6–79,7** Αἱ…πρόκειται] cf. Theod. I 41.11 Αἱ εἰς -εις εὐθεῖαι συνῃρημέναι ὅταν ἔχωσι τὰς γενικὰς συναιρεθείσας περισπῶσιν αὐτάς, εὐγενῶν Δημοσθενῶν· τὸ δυσώδων Ἀρίσταρχος ἀλόγως ἐβάρυνε, καὶ τριήρων φασί τινες Ἀττικοὺς βαρυτόνως λέγειν; Choer. I 411.15 Αἱ μέντοι εἰς -εις διὰ τῆς -ει- διφθόγγου εὐθεῖαι πληθυντικαί, δηλονότι ἀπὸ συναιρέσεως γενόμεναι, ἔχουσαι τὴν γενικὴν τῶν πληθυντικῶν συναιρουμένην περισπῶσιν αὐτήν, οἷον Δημοσθένεες Δημοσθένεις Δημοσθενέων Δημοσθενῶν, Διομήδεες Διομήδεις Διομηδέων Διομηδῶν, εὐμήκεες εὐμήκεις εὐμηκέων εὐμηκῶν, εὐσεβέες εὐσεβεῖς εὐσεβέων εὐσεβῶν. Λέγει δὲ ὁ τεχνικός, ὅτι τὸ δυσώδων Ἀρίσταρχος ἀλόγως ἐβάρυνεν· ἔδει γὰρ δυσωδῶν περισπωμένως, ἐπειδὴ ἐκ τοῦ δυσωδέων γέγονε κατὰ κρᾶσιν, ὥσπερ ἀπὸ τοῦ Δημοσθενέων Δημοσθενῶν. Τὸ τριηρῶν περισπωμένως οἱ Ἀθηναῖοι κατὰ ἀκολουθίαν ἀναγινώσκουσι, τινὲς δὲ καὶ τοῦτο παρ' αὐτοῖς βαρυτόνως ἀναγινώσκουσιν, οἷον τῶν τριήρων· καὶ τὸ αὐταρκῶν δὲ παρὰ τοῖς Ἀθηναίοις βαρύνεται κατὰ τὴν ἀκρίβειαν, οἷον αὐτάρκων, καὶ τὸ ἐπίρρημα δὲ τὸ ἐξ αὐτοῦ γινόμενον αὐτάρκως βαρυτόνως ἀναγινώσκεται· καὶ λέγουσί τινες τῶν τεχνικῶν περισπωμένως αὐτὸ ἀναγινώσκεσθαι· καὶ τὸ συνήθων δὲ καὶ κακοήθων βαρυτόνως ἐπεκράτησεν ἀναγινώσκεσθαι· ὡσαύτως δὲ καὶ τὰ ἐπιρρήματα τὰ ἐξ αὐτῶν γινόμενα βαρυτόνως ἐπεκράτησεν ἀναγινώσκεσθαι, οἷον συνήθως καὶ κακοήθως. Πρόσκειται «ἔχουσαι τὴν γενικὴν τῶν πληθυντικῶν συναιρουμένην» διὰ τὸ οἱ ταχεῖς τῶν ταχέων καὶ οἱ βραδεῖς τῶν βραδέων· ταῦτα γὰρ οὐ περισπῶνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν, ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὔτε συναιροῦνται κατὰ τὴν γενικὴν τῶν πληθυντικῶν; de δυσωδῶν, εὐωδῶν et sim. cf. § **198** **7** ὡς…εἴπομεν] de synaeresi in terminatione -εις dixit Ioh. Alex. §§ **66**, **70**

1 πελέκεων del. Dindorf praef. ix **2** ἔχειν Dindorf: ἔχουσι AV **8** δυσωδων… εὐωδων sine accentibus scripsi: δυσώδων…εὐώδων AV

μὲν περισπασθήσονται, φασὶ δὲ τὸν Ἀρίσταρχον ταύτας καὶ τὰς ὁμοίας βαρύνειν, ἀπατηθέντα, ὡς ὁ Ἡρωδιανός φησιν, ἐκ τοῦ οἴεσθαι τὰς ἐντελεῖς γενικὰς αὐτῶν προπαροξύνεσθαι· *εὐώδεων*, ὡς *πόλεων*. κακῶς· μόναι γὰρ αἱ ἀπὸ τῶν εἰς *-ις* ὑπάρχουσιν αἱ
5 προπαροξυνόμεναι, *πόλεων*, *μάντεων*, καὶ δύο ἀπὸ τῶν εἰς *-υς*, *πελέκεων*, *πήχεων*· αἱ δὲ λοιπαὶ πᾶσαι βαρύτονοι οὖσαι πρὸ μιᾶς ἔχουσι τὸν τόνον, ὡς πρόκειται.

7 ὡς πρόκειται] vid. § **80**

1 ταύτας Dindorf quasi ex A: ταῦτας AV **2** Ἡρωδιανός V: ἡροδιανὸς A

82. Αἱ εἰς -α λήγουσαι εὐθεῖαι πληθυντικαὶ οὐδετέρων ὀνομάτων, εἰ μὲν ὀξύνοιντο ἢ περισπῷντο, πάντως τὴν πληθυντικὴν γενικὴν περισπῶσι· *πυρά πυρῶν*, *σφυρά σφυρῶν*, *καλά καλῶν*,

1–81,9 Αἱ … ὁμοίαις] alia ratione Theod. I 41.16 Τὰ εἰς -α οὐδέτερα τριγενῆ μὲν ὄντα τοῖς ἀρσενικοῖς συντονοῦνται, φίλων κούφων δούλων, μονογενῆ δὲ τῇ ἰδίᾳ εὐθείᾳ, πτερά πτερῶν, ξυρά ξυρῶν, ὀστᾶ ὀστῶν, ὦτα ὤτων, φῶτα φώτων, γοῦνα γούνων, δοῦρα δούρων· ἐπὶ τοῦ τειχέων βελέων ἡ μακρὰ καταβιβάσασα τὸν τόνον συναίρεσιν ἐποίησεν ἐπὶ τῆς γενικῆς; Choer. I 412.31 Τὰ μέντοι εἰς -α οὐδέτερα, δηλονότι εὐθείας πληθυντικῆς ὄντα, εἰ μέν εἰσι τριγενῆ, ὁμότονον ἔχουσι τὴν ἰδίαν γενικὴν τῶν πληθυντικῶν τῇ γενικῇ τῶν πληθυντικῶν τοῦ ἀρσενικοῦ, οἷον οἱ φίλοι τῶν φίλων τὰ φίλα τῶν φίλων, οἱ κοῦφοι τῶν κούφων τὰ κοῦφα τῶν κούφων, οἱ ἐναντίοι τῶν ἐναντίων τὰ ἐναντία τῶν ἐναντίων, οἱ πλούσιοι τῶν πλουσίων τὰ πλούσια τῶν πλουσίων, οἱ σοφοί τῶν σοφῶν τὰ σοφά τῶν σοφῶν, οἱ σεμνοί τῶν σεμνῶν τὰ σεμνά τῶν σεμνῶν, οἱ χαλκοῖ τῶν χαλκῶν τὰ χαλκᾶ τῶν χαλκῶν, οἱ ἀργυροῖ τῶν ἀργυρῶν τὰ ἀργυρᾶ τῶν ἀργυρῶν· εἰ δὲ μονογενῆ εὑρεθῶσιν, εἰ μὲν ἐν τῇ τελευταίᾳ συλλαβῇ τὰ εἰς -α πληθυντικὰ οὐδέτερα ἔχουσι τὸν τόνον, τουτέστιν εἰ ὀξύνονται ἢ περισπῶνται, καὶ ἐν τῇ γενικῇ τῶν πληθυντικῶν ἐν τῇ τελευταίᾳ συλλαβῇ ἐστιν ὁ τόνος, καὶ περισπᾶται ἡ γενικὴ τῶν πληθυντικῶν, οἷον τὰ ξυρά τῶν ξυρῶν, τὰ πτερά τῶν πτερῶν, τὰ σφυρά τῶν σφυρῶν, τὰ πλευρά τῶν πλευρῶν, τὰ ὀστᾶ τῶν ὀστῶν, τὰ κανᾶ τῶν κανῶν· εἰ δὲ βαρύνονται τὰ εἰς -α πληθυντικὰ οὐδέτερα, βαρύνεται καὶ ἡ γενικὴ τῶν πληθυντικῶν, οἷον τὰ ξύλα τῶν ξύλων, τὰ δένδρα τῶν δένδρων, τὰ ὀστέα τῶν ὀστέων, τὰ γοῦνα τῶν γούνων, τὰ δοῦρα τῶν δούρων, τὰ ὦτα τῶν ὤτων, τὰ φῶτα τῶν φώτων βαρυτόνως· ἰδοὺ ταῦτα πάντα, βαρυτονουμένας τὰς εὐθείας τῶν πληθυντικῶν ἔχοντα, καὶ τὴν γενικὴν τῶν πληθυντικῶν βαρυτονουμένην ἔχουσιν· πάλιν τὰ φιλήματα τῶν φιλημάτων, τὰ νοήματα τῶν νοημάτων, δηλονότι διὰ τὴν ἐπὶ τέλους φύσει μακρὰν καταβιβαζομένης τῆς ὀξείας· τῆς γὰρ εὐθείας προπαροξυνομένης ἡ γενικὴ παροξύνεται, διὰ τὴν ἐπὶ τέλους φύσει μακρὰν τοῦ τόνου, ὡς εἴρηται, καταβιβασθέντος· ὡσαύτως δὲ καὶ τὰ τείχεα καὶ βέλεα, προπαροξυτονούμενα κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν, ἐν τῇ γενικῇ διὰ τὴν ἐπὶ τέλους φύσει μακρὰν κατεβίβασαν τὸν τόνον καὶ ἐγένοντο τειχέων καὶ βελέων παροξυτόνως, ἅτινα συναίρεσιν ἀναδεξάμενα περισπῶνται, οἷον τειχῶν καὶ βελῶν· ἡ γὰρ ὀξεῖα καὶ ἡ βαρεῖα εἰς περισπωμένην συνέρχονται, οἷον ποιέω ποιῶ, Δημοσθενέων Δημοσθενῶν, πάϊς παῖς, Ἡρακλέης Ἡρακλῆς. Τούτων οὕτως ἐχόντων ἐστὶ φρέατα καὶ γίνεται κατὰ κρᾶσιν φρῆτα, τοῦ ε καὶ α εἰς η κραθέντων· καὶ τούτου βαρυνομένου κατὰ τὴν εὐθεῖαν τῶν πληθυντικῶν ὤφειλε καὶ ἡ γενικὴ τῶν πληθυντικῶν βαρύνεσθαι καὶ εἶναι φρήτων βαρυτόνως, ὥσπερ τὰ ὦτα τῶν ὤτων, τὰ φῶτα τῶν φώτων· ὅμως δέ, ὥς φησιν ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου, περισπῶσιν αὐτό, οἷον φρητῶν, ὁμοτόνως τῇ Κρητῶν καὶ σητῶν καὶ θητῶν γενικῇ.

1 πληθυντικαὶ Dindorf: πλη[θυντικ] compendiose A: πληθυντικῶν V **3** πυρά Dindorf: πύρα AV | σφυρά Dindorf: σφύρα AV

ἀλλὰ καὶ *κανᾶ* περισπωμένως *κανῶν*, *ὀστᾶ ὀστῶν*, *χρυσᾶ χρυσῶν*. εἰ μέντοι βαρύνοιντο, συμβαρύνουσι καὶ τὰς γενικάς· *φίλα φίλων*, *ξύλα ξύλων*, *φῶτα φώτων*, *ὦτα ὤτων*. εἰ δὲ ἀπὸ περιττοσυλλάβων συναλειφὴ παρακολουθήσειε, ἡ γενικὴ πάντως
5 περισπᾶται· *τειχέων τειχῶν*, *βελέων βελῶν*, *κρεάων κρεῶν*. τὸ *φρεάτων* συναιρεθὲν ἐν τῇ παραληγούσῃ *φρητων* ὀφείλει βαρύνεσθαι· εἴπομεν γὰρ ὡς ἡ βαρεῖα καὶ ὀξεῖα εἰς ὀξεῖαν συναιροῦνται. νῦν δὲ παραλόγως περισπᾶται συνεξελθὸν τῇ *Κρητῶν*, *θητῶν* καὶ ταῖς ὁμοίαις.
10 **83.** Περὶ μὲν τῶν εἰς *-ι* ἐκφωνούμενον δοτικῶν πληθυντικῶν εἴπομεν ἐν τοῖς ἑνικοῖς, νῦν δὲ περὶ τῶν λοιπῶν ἐροῦμεν.

10–82,10 Περὶ…λαός] alia ratione de dativis pluralibus disserit Theod. I 41.23 Πᾶσα δοτικὴ πληθυντικὴ ἐπ᾽ ἐκείνης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ᾽ ἧς ἂν καὶ ἡ δοτικὴ τῶν ἑνικῶν, μηνί μησί, καλῷ καλοῖς, χειρί χερσί· σεσημείωται τὸ πᾶσι; Choer. I 413.33 Λέγει ὁ τεχνικός, ὅτι ἡ δοτικὴ τῶν πληθυντικῶν ἐπ᾽ ἐκείνης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ᾽ ἧς καὶ ἡ δοτικὴ τῶν ἑνικῶν, οἷον καλῷ καλοῖς, σοφῷ σοφοῖς, Μενελάῳ Μενελάοις, Ὁμήρῳ Ὁμήροις, ἀνθρώπῳ ἀνθρώποις, Ὀρέστῃ Ὀρέσταις, παιδί παισί, μηνί μησί, φρενί φρεσίν, Αἴαντι Αἴασι, Θόαντι Θόασι, Πέλοπι Πέλοψι, Κίλικι Κίλιξι. Λέγει ⟨δὲ⟩ ὁ τεχνικός «χωρὶς τοῦ παντί πᾶσιν», ἐπειδὴ ἡ δοτικὴ τῶν ἑνικῶν ὀξύνεται, οἷον παντί, ἡ δὲ δοτικὴ τῶν πληθυντικῶν βαρύνεται, οἷον πᾶσι προπερισπωμένως sqq. **11** εἴπομεν…ἑνικοῖς] vid. §§ **47** et **48**

4 περιττοσυλλάβων V: περισσοσυλλάβων A | συναλειφὴ V: συναλειφῇ A **6** φρητων sine accentu scripsi: φρητῶν AV **8** συνεξελθὸν Dindorf: συνεξελθὼν AV **10** ante Περὶ…πληθυντικῶν tit. περὶ δοτικῆς τῶν πληθυντικῶν praebet V | ἐκφωνούμενον A: ἐκφωνουμένων V

84. Αἱ εἰς *-αις* καὶ εἰς *-οις* ἀπὸ ὀξυτόνων μὲν ἢ περισπωμένων εὐθειῶν οὖσαι περισπῶνται· *ἀθληταί ἀθληταῖς, καλοί καλοῖς, σοφοί σοφοῖς*, ἀλλὰ καὶ *οἱ Ἑρμαῖ τοῖς Ἑρμαῖς, αἱ χρυσαῖ ταῖς χρυσαῖς*. ἀπὸ δὲ βαρυτόνων πρὸ μιᾶς ἔχουσι τὸν τόνον· *φίλοι φίλοις, ἵπποι ἵπποις, Μήδειαι Μηδείαις,* 5 *τάλαιναι ταλαίναις, ξύλα ξύλοις*.

85. Περὶ τῶν Ἀττικῶν, ὅτι τὸν τόνον τῆς κοινῆς εὐθείας ἔχει πᾶσα πτῶσις Ἀττική, εἴπομεν ἤδη· διὰ τοῦτο *τοῖς Μενέλεως* προπαροξύνομεν, ἐπεὶ καὶ *ὁ Μενέλαος*, *τοῖς* δὲ *λεῴς* ὀξύνομεν, ἐπεὶ καὶ *ὁ λαός*. 10

1–6 Αἱ…ξύλοις] alia ratione Theodosius rem aggressus est I 41.23 Πᾶσα δοτικὴ πληθυντικὴ ἐπ' ἐκείνης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς ἂν καὶ ἡ δοτικὴ τῶν ἑνικῶν, μηνί μησί, καλῷ καλοῖς, χειρί χερσί· σεσημείωται τὸ πᾶσι; Theodosium interpretatur Choer. I 413.34; Herodiani rationem sequitur Choer. I in p. 415.11 Αἱ εἰς -αις λήγουσαι δοτικαὶ πληθυντικαὶ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν ⟨πληθυντικῶν⟩ οὖσαι βαρύνονται ἤγουν παροξύνονται, οἷον Ἀτρεῖδαι Ἀτρείδαις, ναῦται ναύταις, τράπεζαι τραπέζαις, ἅμαξαι ἁμάξαις, ἄκανθαι ἀκάνθαις, ἄελλαι ἀέλλαις, Μοῦσαι Μούσαις, ἀπὸ δὲ ὀξυτόνωνεὐθειῶν πληθυντικῶν οὖσαι ἢ ἀπὸ περισπωμένων περισπῶνται, οἷον ἀθληταί ἀθληταῖς, κηδεσταί κηδεσταῖς, καλαί καλαῖς, σεμναί σεμναῖς, ἡδοναί ἡδοναῖς· ἰδοὺ ταῦτα ἀπὸ ὀξυτόνων εὐθειῶν περιεσπάσθησαν· ἀπὸ δὲ περισπωμένων, οἷον χαλκαῖ χαλκαῖς, χρυσαῖ χρυσαῖς, σιδηραῖ σιδηραῖς, ἀργυραῖ ἀργυραῖς, λεονταῖ λεονταῖς, Ἑρμαῖ Ἑρμαῖς. Αἱ εἰς -οις λήγουσαι δοτικαὶ πληθυντικαὶ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι παροξύνονται, οἷον δῆμοι δήμοις, ὄχλοι ὄχλοις, ἐναντίοι ἐναντίοις, πλησίοι πλησίοις, Ὅμηροι Ὁμήροις, Ἀρίσταρχοι Ἀριστάρχοις, ἄνθρωποι ἀνθρώποις, λίθινοι λιθίνοις, δρύϊνοι δρυΐνοις· ἀπὸ δὲ ὀξυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι ἢ ἀπὸ περισπωμένων περισπῶνται, ἀπὸ ὀξυτόνων μέν, οἷον σοφοί σοφοῖς, ἀγαθοί ἀγαθοῖς, ἐαρινοί ἐαρινοῖς, σεμνοί σεμνοῖς, ἀπὸ δὲ περισπωμένων, οἷον χαλκοῖ χαλκοῖς, ἀργυροῖ ἀργυροῖς, σιδηροῖ σιδηροῖς, πορφυροῖ πορφυροῖς. Τὰ εἰς -οις οὐδέτερα μονογενῆ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν ὄντα παροξύνονται, οἷον τέκνα τέκνοις, δένδρα δένδροις, ξύλα ξύλοις, μέτρα μέτροις· ἀπὸ δὲ ὀξυτόνων ἢ περισπωμένων περισπῶνται, ἀπὸ μὲν ὀξυτόνων, οἷον σφυρά σφυροῖς, πλευρά πλευροῖς, πτερά πτεροῖς, ἀπὸ δὲ περισπωμένων, οἷον κανᾶ κανοῖς, ὀστᾶ ὀστοῖς, χαλκᾶ χαλκοῖς. **7–10** Περὶ…λαός] dativi plurales attici aliter reguntur ap. Choer. I 415.35 Τὰ Ἀττικὰ ὁμοτονοῦσι τῇ εὐθείᾳ τῶν πληθυντικῶν, οἷον οἱ Μενέλεῳ τοῖς Μενέλεῳς, οἱ Νικόλεῳ τοῖς Νικόλεῳς, οἱ νεῴ τοῖς νεῴς **8** εἴπομεν ἤδη] vid. §§ **15** et **41**

1 εἰς[1]…-οις A: εἰς αι (sic) καὶ οις V **4** χρυσαῖ Dindorf quasi ex A: χρῦσαι AV **10** καὶ A: om. V

86. Πᾶσα αἰτιατικὴ πληθυντικὴ ὁμοφωνοῦσα τῇ πληθυντικῇ

1–84,4 Πᾶσα … κλειτῦς[2]] Choer. I 416.12–21 (vid. infra) et ibid. 416.33 Ἰστέον δὲ ὅτι αἱ εἰς -ς λήγουσαι μακροκατάληκτοι εὐθεῖαι ἔχουσαι ὁμόφωνον τὴν αἰτιατικὴν καὶ ὁμότονον αὐτὴν ἔχουσιν, οἷον οἱ ταχεῖς τοὺς ταχεῖς, οἱ βραδεῖς τοὺς βραδεῖς, οἱ ἱππεῖς τοὺς ἱππεῖς, οἱ εὐσεβεῖς τοὺς εὐσεβεῖς, οἱ εὐγενεῖς τοὺς εὐγενεῖς, οἱ ἰχθῦς τοὺς ἰχθῦς, οἱ βότρυς τοὺς βότρυς, οἱ στάχυς τοὺς στάχυς, οἱ Δημοσθένεις τοὺς Δημοσθένεις, οἱ κακοήθεις τοὺς κακοήθεις; de accusativo κλειτῦς perispomeno cf. Hrd. ap. sch. Π 390a {πολλὰς δὲ} κλιτύς: ἐχρῆν μὲν διὰ τὸ «κλιτύας †οὐρῆας†» (fr. ign.?) περισπᾶσθαι τὸ κλιτύς ...; sch. Π 390b[1] (Hrd.) /b[2]; sch. Π 390c ... ἐν μέντοι τῇ Ὀδυσσειακῇ προσῳδίᾳ ... φησιν ὅτι εἴη εἰρηκὼς καὶ τὸ «κλιτῦς» δεῖ περισπᾶσθαι... **1–85,6** Πᾶσα … Ἀθηναίοις] genetivus singularis, non nominativus pluralis, norma rei est ap. Theod. I 42.5 Πᾶσα αἰτιατικὴ πληθυντικὴ ἀπαθὴς ἐπ' ἐκείνης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς ἂν καὶ ἡ γενικὴ τῶν ἑνικῶν, ταχέος ταχέας, καλοῦ καλούς, βέλεος βέλεα, Μούσης Μούσας, ἀθλητοῦ ἀθλητάς, χαλκοῦ χαλκοῦς; Choer. I 416.2 Πᾶσα αἰτιατικὴ πληθυντικῶν ἐπὶ ταύτης τῆς συλλαβῆς ἔχει τὸν τόνον ἐφ' ἧς καὶ ἡ γενικὴ τῶν ἑνικῶν, οἷον Αἴαντος Αἴαντας, λέβητος λέβητας, κοχλίου κοχλίας, Ὁμήρου Ὁμήρους, Ἀριστάρχου Ἀριστάρχους, ἀνθρώπου ἀνθρώπους, καλοῦ καλούς, σοφοῦ σοφούς· ἐν μὲν τῇ αὐτῇ συλλαβῇ καὶ ταῦτα ἐφύλαξαν τὸν τόνον, οὐ τὸν αὐτὸν δέ· ἡ μὲν γὰρ γενικὴ περισπᾶται, ἡ δὲ αἰτιατικὴ ὀξύνεται πρὸς τὴν καλοί καὶ σοφοί εὐθεῖαν τῶν πληθυντικῶν· πάλιν χαλκοῦ χαλκοῦς, χρυσοῦ χρυσοῦς· ταῦτα καὶ ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξαν καὶ τὸν αὐτόν· πάλιν ἀθλητοῦ ἀθλητάς· τοῦτο δὲ ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον ἐφύλαξεν, οὐ τὸν αὐτὸν δέ· τὸ μὲν γὰρ ἀθλητοῦ περισπᾶται, τὸ δὲ ἀθλητάς ὀξύνεται πρὸς τὴν ἀθληταί εὐθεῖαν τῶν πληθυντικῶν. Δεῖ προσθεῖναι ἐν τῷ κανόνι «χωρὶς εἰ μὴ ὁμοφωνήσωσιν αἱ αἰτιατικαὶ ⟨ταῖς⟩ συνῃρημέναις εὐθείαις», οἷον τοῦ ταχέος τοὺς ταχεῖς καὶ τοῦ βραδέος τοὺς βραδεῖς· ἰδοὺ γὰρ ἐνταῦθα οὐκ ἔχουσιν ἐν τῇ αὐτῇ συλλαβῇ τὸν τόνον αἱ αἰτιατικαὶ πληθυντικαὶ ἐφ' ἧς καὶ αἱ γενικαὶ τῶν ἑνικῶν· αἱ μὲν γὰρ γενικαὶ τῶν ἑνικῶν βαρύνονται αἱ δὲ αἰτιατικαὶ τῶν πληθυντικῶν περισπῶνται· ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν ταῦτα, ἐπειδὴ ὡμοφώνησαν αἱ αἰτιατικαὶ ⟨ταῖς⟩ συνῃρημέναις εὐθείαις πληθυντικαῖς, καὶ λοιπὸν ἠναγκάσθησαν καὶ ὁμοτονῆσαι αὐταῖς, οἷον οἱ ταχέες οἱ ταχεῖς καὶ τοὺς ταχεῖς, οἱ βραδέες οἱ βραδεῖς καὶ τοὺς βραδεῖς. Ἔτι δεῖ προσθεῖναι ἐν τῷ κανόνι «καὶ χωρὶς τῶν εἰς -ος ὀξυτονουμένων γενικῶν», ὅτι οὐχ ὁμοτονοῦσιν αἱ αἰτιατικαὶ ταῖς γενικαῖς καὶ ὀξύνονται ἀλλὰ βαρύνονται, οἷον γυναικός γυναῖκας, φωτός φῶτας, ἀνδρός ἄνδρας, παιδός παῖδας, μυός μύας, ῥοός ῥόας, δμωός δμῶας, μηνός μῆνας, χηνός χῆνας· οὐδὲ γὰρ δύνανται αἱ αἰτιατικαὶ πληθυντικαὶ αὗται ὀξυτονεῖσθαι, ἐπειδὴ αἱ εἰς -ας λήγουσαι αἰτιατικαὶ πληθυντικαὶ συνεσταλμένον ἔχουσαι τὸ α βαρύνονται, οἷον Αἴαντας Θόαντας Πάριδας Λάχητας Ξενοφῶντας Ποσειδῶνας ἀσπίδας λαμπάδας· πρόσκειται «συνεσταλμένον ἔχουσαι τὸ α» διὰ τὸ καλάς καὶ σοφάς·

1 ante Πᾶσα … πληθυντικὴ tit. περὶ αἰτιατικῆς τῶν πληθυντικῶν praebet V

εὐθείᾳ καὶ ὁμοτονεῖ ταύτῃ· *οἱ ταχεῖς* καὶ *τοὺς ταχεῖς*, *οἱ Δημοσθένεις* καὶ *τοὺς Δημοσθένεις*, *οἱ βελτίους* καὶ *τοὺς βελτίους*, *οἱ ἰχθῦς* περισπωμένως καὶ *τοὺς ἰχθῦς*, ὁμοίως *αἱ κλειτῦς* καὶ *τὰς κλειτῦς*.

87. Αἱ εἰς *-ας* λήγουσαι συνεσταλμένον ἔχουσαι τὸ *-α-* ὁμότονοί 5 εἰσι ταῖς πληθυντικαῖς εὐθείαις· *Αἴαντες Αἴαντας*, *Πάριδες Πάριδας*, *ταχέες ταχέας*. αἱ ἐκτεταμένον ἔχουσαι τὸ *-α-* ἀπὸ μὲν βαρυτόνων πρὸ μιᾶς ἔχουσι τὸν τόνον· *Μήδειαι Μηδείας*, *τάλαιναι ταλαίνας*. ἀπὸ δὲ ὀξυτόνων ὀξύνονται· *καλαί καλάς*, *σοφαί σοφάς*. ἀπὸ δὲ περισπωμένων περισπῶνται· *ἀργυραῖ* 10 *ἀργυρᾶς*, *διπλαῖ διπλᾶς*, *συκαῖ συκᾶς*, *γαλαῖ γαλᾶς*. μακρὸν δὲ ἔχουσι τὸ *-α-* ὅσαι εἰσὶν ἀπὸ τῶν εἰς *-αι* εὐθειῶν, ὅσαι προκείμεναι· βραχὺ δὲ αἱ ἀπὸ τῶν εἰς *-ες*, ὧν πάλιν κεῖται τὰ ὑποδείγματα.

ἰδοὺ γὰρ ἐπὶ τούτων αἱ αἰτιατικαὶ πληθυντικαὶ εἰς -ας λήγουσαι ὀξύνονται, ἀλλ' οὐκ ἔχουσι συνεσταλμένον τὸ α ἀλλ' ἐκτεταμένον

5–11 Αἱ…γαλᾶς] Herodiani ratione nititur Choer. I in p. 417.4 Αἱ εἰς -ας λήγουσαι αἰτιατικαὶ συνεσταλμένον ἔχουσαι τὸ -α- πᾶσαι βαρύνονται, καὶ ἔχουσι τὸν τόνον τῶν εὐθειῶν τῶν πληθυντικῶν, οἷον Αἴαντες Αἴαντας, λέβητες λέβητας, Ξενοφῶντες Ξενοφῶντας, σωλῆνες σωλῆνας, γυναῖκες γυναῖκας, Ἀρκάδες Ἀρκάδας, ἀσπίδες ἀσπίδας, λαμπάδες λαμπάδας. Αἱ εἰς -ας λήγουσαι αἰτιατικαὶ ἐκτεταμένον ἔχουσαι τὸ -α-, ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι παροξύνονται, οἷον ναῦται ναύτας, τοξόται τοξότας, Ἑλέναι Ἑλένας, περόναι περόνας, ἡμέραι ἡμέρας, ἄελλαι ἀέλλας, τράπεζαι τραπέζας, ἅμαξαι ἁμάξας, ἄκανθαι ἀκάνθας, ἀπὸ δὲ ὀξυνομένων ὀξύνονται, οἷον αὐληταί αὐλητάς, ἀθληταί ἀθλητάς, ποιηταί ποιητάς, ἡδοναί ἡδονάς, πλησμοναί πλησμονάς, καλαί καλάς, σοφαί σοφάς, ἀπὸ δὲ περισπωμένων περισπῶνται, οἷον Ἑρμαῖ Ἑρμᾶς, ἁπλαῖ ἁπλᾶς, λεονταῖ λεοντᾶς, χαλκαῖ χαλκᾶς, χρυσαῖ χρυσᾶς, ἀργυραῖ ἀργυρᾶς, σιδηραῖ σιδηρᾶς, συκαῖ συκᾶς.

1 εὐθείᾳ A: εὐθεῖα V | ὁμοτονεῖ A: ὁμοφωνεῖ V | καὶ[2] V: om. A **2** καὶ[1] V: om. A | βελτίους Dindorf quasi ex A: βελτίοι AV **4** κλειτῦς[1]…κλειτῦς[2] AV (cf. Hrd. ὀρθ. fr. 36 = Lentz II 416.19, cum testim.): κλιτῦς … κλιτῦς Dindorf | καὶ V: om. A **5** Αἱ A: *ἱ V, lit. α a rubr. neglecta | ἔχουσαι AV^p.c.: ἔχουσι V^a.c. **7** αἱ A: *ἱ V, lit. α a rubr. neglecta **11** διπλαῖ A: διπλαὶ V | συκαῖ A: συκαὶ V | γαλαῖ A: γαλαὶ V

88. Αἱ εἰς *-ους* αἰτιατικαὶ πάλιν ταῖς εὐθείαις ἀκολουθοῦσι κατὰ τὸν εἰρημένον κανόνα· ⟨παροξυτόνως *Ὅμηροι Ὁμήρους*⟩, *φίλοι φίλους, καλοί καλούς* ὀξυτόνως καὶ *ἀργυροῖ ἀργυροῦς* περισπωμένως.

5 **89.** Τὸ *Ἐρετριέας Ἐρετριᾶς* καὶ *ἁλιέας ἁλιᾶς* κατὰ συναίρεσιν περισπᾶται παρ' Ἀθηναίοις.

1–4 Αἱ…περισπωμένως] Herodiani ratione nititur Choer. I in 417.18 Αἱ εἰς -ους λήγουσαι αἰτιατικαὶ πληθυντικαὶ ἀπὸ μὲν βαρυτόνων εὐθειῶν πληθυντικῶν οὖσαι παροξύνονται, οἷον δῆμοι δήμους, πλησίοι πλησίους, ἐναντίοι ἐναντίους, Ὅμηροι Ὁμήρους, Ἀρίσταρχοι Ἀριστάρχους, ἄνθρωποι ἀνθρώπους, φήγινοι φηγίνους, δρύϊνοι δρυΐνους, ξύλινοι ξυλίνους, λίθινοι λιθίνους, ἀπὸ δὲ ὀξυνομένων ὀξύνονται, οἷον καλοί καλούς, σοφοί σοφούς, ἐαρινοί ἐαρινούς, ἀγαθοί ἀγαθούς, ἀπὸ δὲ περισπωμένων περισπῶνται, οἷον χαλκοῖ χαλκοῦς, χρυσοῖ χρυσοῦς,ἀργυροῖ ἀργυροῦς, σιδηροῖ σιδηροῦς, πορφυροῖ πορφυροῦς. **2** εἰρημένον κανόνα] spectat ad § **87** inde ab αἱ ἐκτεταμένον ἔχουσαι τὸ -α- usque ad γαλᾶς **5–6** Ἐρετριέας…Ἀθηναίοις] cf. § **87** init. Αἱ εἰς -ας λήγουσαι συνεσταλμένον … ταχέας; Harp. 7.8 Ἀγυιᾶς: Δημοσθένης ἐν τῷ κατὰ Μειδίου «χοροὺς ἱστάναι κατὰ τὰ πάτρια καὶ κνισᾶν ἀγυιᾶς». ἔνιοι μὲν ὀξύνουσι θηλυκῶς χρώμενοι, οἷον τὰς ὁδούς· βέλτιον δὲ περισπᾶν ὡς ἀπὸ τοῦ ἀγυιεύς...ἔστιν οὖν τὸ ὁλόκληρον ἀγυιέας, καὶ κατὰ τὴν Ἀττικῶν διάλεκτον ἀγυιᾶς, καθὰ καὶ Στειριᾶς καὶ Μηλιᾶς καὶ τὰ παραπλήσια λέγουσιν ἐν συναλοιφῇ. Ἀριστοφάνης ἐν Ὄρνισι (1232–3) «μηλοσφαγεῖν τε βουθύτοις ἐπ' ἐσχάραις / κνισᾶν τ' ἀγυιᾶς»; Sophr. I 390.36 Ἰστέον ὅτι τὰς αἰτιατικὰς τούτων οἱ Ἀττικοὶ καθαρὰς μὲν συναιροῦσιν, ἁλιέα ἁλιᾶ, Πειραιέα Πειραιᾶ, μὴ καθαρὰς δὲ ἐκτείνουσι, Πηλέα καὶ ἱερέα· καὶ τὴν τῶν πληθυντικῶν ἁλιᾶς Δωριᾶς, σπανίως δὲ καὶ τὰς ἐχούσας σύμφωνον; Choer. I 380.18 τὸ Ἐρετριᾶ καὶ Πειραιᾶ καὶ Στειριᾶ οὐκ ὀξύνονται ἀλλὰ περισπῶνται· ἀπὸ γὰρ τοῦ Ἐρετριέα καὶ Πειραιέα καὶ Στειριέα γεγόνασι κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς α μακρόν; Hrd. διχρ. 13.21; sch. Triclinii in Ar. Nub. 1238c

1 Αἱ A: *ἱ V, lit. α a rubr. neglecta **2** παροξυτόνως…Ὁμήρους lacunam e.g. supplevi; exemplum ex § **74** sumpsi **5** Ἐρετριέας V^p.c.^ (coni. Dindorf): ἐρετριΐας AV^a.c.^ **6** περισπᾶται A: περισπῶνται AV

Περὶ ῥημάτων (**90–94**)

90. Πᾶν ῥῆμα κοινὸν ἢ βαρύνεται ἢ περισπᾶται, ὀλίγα δέ ἐστι τὰ ὀξυνόμενα, ἃ καὶ παραθήσομαι.

0 ῥημάτων] Herodianus accentum verborum in libris XVI–XVII Catholicae complexus erat, cf. Arc. 4.14 **1–2** Πᾶν…ὀξυνόμενα] cf. Arc. 170.4 Πᾶν ῥῆμα βαρύνεται ἢ περισπᾶται· γράφω, τύπτω, ποιῶ, βοῶ. ὀξύνεται δὲ οὐδέποτε κατὰ τὴν κοινὴν συνήθειαν, εἰ μὴ παρὰ Δωριεῦσι τὰ συνηρημένα ἀπαρέμφατα εἰς -ειν ἀφαιρέσει τοῦ -ι-, ποιέν ἀντὶ τοῦ ποιεῖν, δασμοφορέν ἀντὶ τοῦ δασμοφορεῖν. σεσημείωται δέ τινα ῥήματα ὀξύτονα; Theod. II 43.6 Πᾶν τοίνυν ῥῆμα εἰς -ω λῆγον βαρύνεται, λέγω φέρω· ὅσα δὲ περιεσπάσθη, ταῦτα ἀπὸ βαρυτόνων συνηρέθη, ποιέω ποιῶ, βοάω βοῶ, χρυσόω χρυσῶ; ibid. 62.18 οὐκ ἔστι ῥῆμα ὀξυνόμενον; Choer. II 23.22 Πᾶν τοίνυν ῥῆμα εἰς -ω λῆγον βαρύνεται, οἷον λέγω φέρω ὅσα δὲ περιεσπάσθη, ταῦτα ἀπὸ βαρυτόνων συνηρέθη, οἷον ποιέω ποιῶ, βοάω βοῶ, χρυσόω χρυσῶ. Ἰστέον ὅτι τὰ εἰς ω λήγοντα ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν πρὸς ἀντιδιαστολὴν τῶν εἰς -ω θηλυκῶν ὀνομάτων· πολλὰ γὰρ εὑρίσκομεν ῥήματα καὶ ὀνόματα θηλυκὰ εἰς -ω λήγοντα, ἅτινα διὰ τοῦ τόνου διαστέλλονται· τὰ γὰρ εἰς -ω λήγοντα θηλυκὰ ⟨ὀνόματα⟩ ὀξύνονται, τῶν ῥημάτων μὴ ὀξυνομένων, οἷον κλείω Κλειώ, καλύψω Καλυψώ, πείθω πειθώ, εἴκω εἰκώ· εἴκω μὲν γάρ ἐστι τὸ ὁμοιῶ, εἰκώ δὲ ἡ εἰκών, (Arist. Nub. 559) τὰς εἰκοὺς τῶν ἐγχέλεων, οἱονεὶ τὰς εἰκόνας καὶ ὁμοιώσεις. Τὰ οὖν εἰς -ω λήγοντα ῥήματα εὐλόγως ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν πρὸς ἀντιδιαστολήν, ὡς εἴρηται, τῶν εἰς -ω θηλυκῶν ὀνομάτων· εἰκότως τοίνυν καὶ τὰ ἐξ αὐτῶν κλινόμενα καὶ τὰ ἐξ αὐτῶν παραγόμενα ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, οἷον τύπτω τύπτεις τύπτει, λέγω λέγεις λέγει, τιθῶ τίθημι, ἱστῶ ἵστημι, διδῶ δίδωμι· καὶ καθόλου λέγομεν, ὅτι πάντα τὰ ῥήματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν καὶ πάντα βαρύνονται ἢ δυνάμει ἢ ἐνεργείᾳ, ἐνεργείᾳ μέν, οἷον λέγω γράφω τύπτω, δυνάμει δέ, ὡς πάντα τὰ περισπώμενα, οἷον ποιῶ βοῶ νοῶ χρυσῶ, ταῦτα γὰρ δυνάμει βαρύτονά εἰσιν… Εἰσὶ δὲ τὰ ὀξύτονα ἄχρι τῶν λβʹ, καὶ μὴ νομίσωμεν ταῦτα τὰ λβʹ πολλὰ εἶναι πρὸς τέσσαρας χιλιάδας ἢ τέσσαρας μυριάδας μὴ ὀξυτονουμένας; ibid. 25.24 Τὰ δὲ κατὰ διάλεκτον οὐ θέλομεν συναριθμεῖν, ἐπειδὴ πολλὰ εὑρίσκομεν, καὶ μάλιστα παρὰ τοῖς Δωριεῦσι, κατὰ πάθος ὀξυνόμενα· τὸ γὰρ δασμοφορεῖν ἀποβάλλει τὸ ι παρὰ τοῖς Δωριεῦσι καὶ γίνεται ἐν ὀξείᾳ τάσει δασμοφορέν· δασμοφορεῖν δέ ἐστι ⟨τὸ φέρειν⟩ τὰ δημόσια· τοιοῦτοι δέ εἰσιν οἱ Δωριεῖς, λέγω δὴ πολλάκις εὑρίσκονται ἀποβάλλοντες τῆς ει διφθόγγου τὸ ι, οἷον συρίζεις συρίσδες, ὡς παρὰ Θεοκρίτῳ (1.2) ἁδὺ δὲ καὶ τύ Συρίσδες

91. Ἐν μὲν προστακτικοῖς μονοσυλλάβοις τὸ θές, δός, ἕς, σχές, σπές, φρές, ἅπερ διὰ τὴν μονοσυλλαβίαν βαρύνεσθαι οὐκ ἠδύνατο, διὰ δὲ τὴν βραχυκαταληξίαν οὐδὲ περισπᾶσθαι. ὅθεν ἐν τῇ συνθέσει εὐλόγως ἀνεβίβασε τὸν τόνον· ἀπόδος, κατάθες, ἐπίσχες, ἐνίσπες, ἐπίσπες, πρόες, ἐπ⟨ε⟩ί⟨σ⟩φρες.

1–5 Ἐν…ἐπείσφρες] cf. Arc. 196.7 Πᾶν μονοσύλλαβον προστακτικὸν μακροκαταληκτούμενον περισπᾶται· θλᾶ, κλᾶ, ζῆ, τῆ (ἀντὶ τοῦ δέξαι). βραχυκατάληκτον δὲ ὀξύνεται· σπές, σχές (sic legendum – vid. Lentz ad 463.14: σχέ codd.), ἕς (ἀφ' οὗ τὸ ἄφες), δός, φρές (τὸ φέρε); ibid. 170.8 (vid. inferius); Choer. II 24.16 Εἰσὶ δὲ τὰ ὀξυτονούμενα ταῦτα, δός θές σχές (τὸ κώλυσον) σπές (τὸ ἀκολούθησον καὶ εἰπέ) φρές (τὸ φέρε) ἕς (τὸ ἀπόλυσον)· ταῦτα δὲ μονοσύλλαβα ὄντα καὶ βραχυκατάληκτα ἐξ ἀνάγκης ὀξύνονται, περισπασθῆναι μὴ δυνάμενα διὰ τὴν βραχεῖαν· ἡ γὰρ περισπωμένη οὐ τίθεται ἐπάνω βραχείας ἀλλ' ἐπάνω φύσει μακρᾶς, οἷον Ἑρμῆς παῖς βοῦς· βαρύνεσθαι δὲ μὴ δυνάμενα διὰ τὴν μονοσυλλαβίαν, ἐπειδὴ πᾶσα λέξις μονοσύλλαβος ἢ ὀξύνεται ἢ περισπᾶται, οὐ μὴν βαρύνεται, οἷον Κρής Τρώς Ζεύς Φρύξ νύξ «θρίξ νοῦς βοῦς παῖς», εὐλόγως ταῦτα ὀξύνονται. Ταῦτα δὲ ἐν τῇ συνθέσει ὑπερβαίνοντα τὴν μονοσυλλαβίαν βαρύνονται, καὶ τὸ σπές δέ, ὡς ἐν τῷ ἐνίσπες καὶ ἐπίσπες, καὶ τὸ σχές, ὡς ἐν τῷ ἐπίσχες καὶ κατάσχες, τὸ δὲ φρές (σημαίνει ⟨δὲ⟩ τὸ φέρε), ὡς ἐν τῷ εἴσφρες, [[τὸ δὲ]] ἕς (σημαίνει δὲ τὸ ἀπόλυσον), ὡς ἐν τῷ ἄφες, (Α 127) «ἀλλὰ σὺ μὲν νῦν» τήνδε θεῷ πρόες, οἱονεὶ πρόπεμψον, τὸ δὲ δός, ὡς ἐν τῷ σύνδος παράδος, τὸ δὲ θές, ὡς ἐν τῷ ἐπίθες παράθες. «Ταῦτα μὲν ἐν τούτοις». Ἔστι δὲ καὶ τὸ χρή ὀξυτονούμενον, οἷον (Β 24) οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα; imperativa monosyllaba in -ς desinentia enumerat Hrd. Π. μον. λέξ. 931.3, quamquam nihil de eorum accentu disputat: Δός. τὰ εἰς -ς λήγοντα προστακτικὰ μονοσύλλαβά τέ ἐστι καὶ τὸ -ε- ἔχει· ἕς, ἔνθεν τὸ ἄφες, πρόες, θές, φρές, ⟨σχές⟩, σπές, «ἐνθάδε φρές μ' ὡς τὸ μειρακύλλιον» (fr. adesp. 254 K.–A.). σημειῶδες τὸ δός μόνον τὸ -ος ἔχον. αἰτία δὲ ἡ συζυγία; Ep. Hom. σ 55 (ubi vid. et locos a Dyck allatos)

1 ἕς Dindorf quasi ex A: ἔς AV **2** μονοσυλλαβίαν V: μοσυλλαβίαν A **3** ἠδύνατο V: ἠδύναντο A | περισπᾶσθαι V: περισπᾶται A **5** ἐπείσφρες scripsi pro librorum AV inaudito ἐπίφρες

92. Δισύλλαβα δὲ τὸ *ἐλθέ, εὑρέ, εἰπέ*, ἃ καὶ αὐτὰ συντεθέντα κατὰ φύσιν βαρὺν ἀπείληφε τὸν τόνον· *κάτελθε, ἔξειπε, ἔφευρε.* τὸ *λαβέ* καὶ *ἰδέ* ὀξυνόμενα Ἀττικά ἐστι· τὰ γὰρ κοινὰ τούτων βαρύνεται. ταῦτα μὲν ἐν προστακτικοῖς.

1–4 Δισύλλαβα…προστακτικοῖς] cf. Hrd. ap. sch. A 85c {θαρσήσας μάλα} εἰπέ: τρία εἰσὶ τὰ ἐν τῇ κοινῇ ὀξυνόμενα, ἐλθέ, εὑρέ, εἰπέ. ἰδίως δὲ καὶ μακρᾷ παραλήγονται. Ἀττικοὶ δὲ καὶ ἐπὶ τῶν βραχυπαραλήκτων ὀξύνουσι τὸ ἰδέ καὶ λαβέ; Hrd. Cath. Pros. ap. Ep. ad A 85B; Arc. 170.4 Πᾶν ῥῆμα βαρύνεται ἢ περισπᾶται ...σεσημείωται δέ τινα ῥήματα ὀξύτονα· ... ἐλθέ εἰπέ εὑρέ ... τὸ δὲ λάβε καὶ ἴδε παρ' ἡμῖν μὲν βαρύνονται, παρὰ δὲ Ἀττικοῖς ὀξύνονται; ibid. 196.14 Πᾶν προστακτικὸν ὑπὲρ μίαν συλλαβὴν ὁμοιοκατάληκτον τῷ οἰκείῳ ὁριστικῷ καὶ ὁμότονόν ἐστιν αὐτῷ· ἔτυπτε τύπτε, ἐνόει νόει, ἐβόα βόα, ἐτύπτου τύπτου. τὸ δὲ λαβοῦ καὶ πιθοῦ παρὰ Ἀττικοῖς περισπᾶται. ἔτι καὶ τὸ ἐλθέ καὶ εἰπέ καὶ εὑρέ ὀξύνουσι; Choer. II 244.24 Σεσημείωται τὸ ἐλθέ εἰπέ εὑρέ ὀξυνόμενα, τὰ γὰρ ὁριστικὰ τούτων ἦλθε καὶ εἶπε καὶ εὗρε βαρύτονά εἰσιν· καὶ ὤφειλον καὶ τὰ προστακτικὰ αὐτῶν βαρύνεσθαι, πάντα γὰρ τὰ εἰς -ε προστακτικὰ τοῦ δευτέρου ἀορίστου καὶ μέλλοντος βαρύνονται, ὡς ἐδηλώθη διὰ τῶν προλεχθέντων παραδειγμάτων· τὸ γὰρ ἰδέ καὶ λαβέ Ἀττικά εἰσιν, τὰ γὰρ κοινὰ βαρύνονται, οἷον ἴδε καὶ λάβε· λέγουσι δέ τινες, ὅτι καὶ τὸ φάγε καὶ πίε οἱ Ἀττικοὶ φαγέ καὶ πιέ λέγουσιν ὀξυτόνως, ὅπερ οὐκ ἐπεκράτησεν...Ἄξιον δέ ἐστι ζητῆσαι, διατί τὸ ἐλθέ καὶ εἰπέ καὶ εὑρέ ὀξύνονται. Ἰστέον ὅτι ἀπολογεῖται περὶ αὐτῶν ὁ Ἡρωδιανὸς κατὰ δύο τρόπους· φησὶ γάρ, ὅτι τὰ ἀπαρέμφατα τοῦ δευτέρου ἀορίστου εἴωθεν ὁ ποιητὴς κατὰ διάλυσιν προφέρειν, οἷον φαγεῖν φαγέειν, πιεῖν πιέειν, ἰδεῖν ἰδέειν· ταῦτα δὲ οὐ προφέρει κατὰ διάλυσιν, τὸ γὰρ ἐλθεῖν οὐκ εἶπεν ἐλθέειν, οὔτε τὸ εἰπεῖν εἰπέειν, οὔτε τὸ εὑρεῖν εὑρέειν· ἐπειδὴ οὖν, φησίν, ταῦτα ἡμαρτήθησαν κατὰ [[τοῦτο, φημὶ]] ⟨δὴ⟩ κατὰ τὸ μὴ διαλύεσθαι, τούτου χάριν καὶ ἐν τοῖς προστακτικοῖς κατὰ τὸν τόνον ἡμαρτήθησαν καὶ ὠξυτονήθησαν. Ἄλλως τε δέ, [[φησίν]], ὁ δεύτερος ἀόριστος οὐ θέλει μακρᾷ παραλήγεσθαι ἀλλὰ βραχείᾳ, ὡς ἐν τῇ περὶ αὐτοῦ διδασκαλίᾳ μεμαθήκαμεν, οἷον ἔτυπον ἔλαβον ἔφαγον ἔπιον ἔνυγον, ταῦτα δὲ μακρᾷ παραλήγονται, οἷον ἦλθον εἶπον εὗρον· ἐπειδὴ οὖν διήλλαξαν περὶ τὸν χρόνον τῆς παραληγούσης ἐν τοῖς ὁριστικοῖς, τούτου χάριν διήλλαξαν καὶ περὶ τὸν τόνον ἐν τοῖς προστακτικοῖς καὶ ὠξυτονήθησαν; etiam alibi ap. Choer.; Philetaer. 227; Eust. Il. I 533.21; EM 329.57; alibi **1–3** ἃ…ἔφευρε] cf. Hrd. Cath. Pros. ap. Ep. Hom. α 211 ἀπόειπε (Γ 406): πᾶν προστακτικὸν δισύλλαβον βραχυκατάληκτον ἑνικὸν ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον, οἷον ἐλθέ πρόελθε, βαῖνε πρόβαινε

2 κατὰ…τόνον A: τὸν κατὰ φύσιν βαρὺν ἀπείληφε τόνον V **4** βαρύνεται Dindorf: βαρ^{υ} A: βαρύνονται V

93. Ἐν δὲ ὁριστικοῖς τὸ *φημί* καὶ *εἰμί* καὶ τὰ τούτων κινήματα· *φής*, *φησί*, ὅπερ πάλιν ἀποκοπὲν ὀξύνεται· «σὲ γὰρ φή» (Anacr. fr. 19 P.) ἀντὶ τοῦ *φησί*· καὶ τὰ πληθυντικά· *φαμέν*, *φατέ*, *φασί*

1–90,4 Ἐν…ὀξύνεται] cf. Arc. 170.8 σεσημείωται δέ τινα ῥήματα ὀξύτονα· … εἰμί φημί, ἀπὸ τοῦ ἠμί, καὶ τὸ ἐσσί καὶ ἐστίν. Εἰσὶ δέ τινα ῥήματα ἁπλᾶ ὀξυνόμενα ἀπὸ κλίσεως τούτων· ἐστόν ἐστόν ἐστέ εἰσί. καὶ ἀπὸ τοῦ φημί· φής (scripsi: φῂς codd.) φησί (καὶ φή (scripsi: φῇ codd.) ἐκεῖνος κατ' ἀποκοπὴν) φατόν φατόν φαμέν φατέ φασίν. καὶ τὸ φαθί οὕτω ἐπεκράτησε λέγεσθαι; ibid. 191.20 Τὰ εἰς ΜΙ λήγοντα ὁριστικὰ ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν, καὶ τὰ τρίτα ὁμοτονοῦσι τοῖς ἰδίοις πρώτοις· τίθημι τίθης τίθησι, δίδωμι δίδως δίδωσι.⟨σεσημείωται⟩ (add. Schmidt) φημί φής (Lentz 458.28: φῄς codd.) φησί, εἰμί εἴς (Lentz l.c.: εἶς codd.) εἶ ἐστί; Theod. II 83.9 πᾶν εἰς -μι λῆγον βαρύνεται, πλὴν τοῦ εἰμί φημί ἠμί; Choer. II 24.36 καὶ τὸ εἰμί (scil. ὀξύνεται) τὸ σημαῖνον τὸ ὑπάρχω, καὶ τὸ φημί τὸ σημαῖνον τὸ λέγω, καὶ τὸ κατὰ ἀποβολὴν τοῦ φ γινόμενον, λέγω δὴ τὸ ἠμί τὸ σημαῖνον τὸ λέγω ὁμοίως τῷ φημί, «παῖ, ἠμί» Ἀριστοφάνης ἐν Βατράχοις (37)… Καὶ διατί δὲ τὸ εἰμί καὶ τὸ φημί καὶ τὸ ἠμί ὀξύνονται, ἐν τοῖς εἰς -μι, εἰ θεῷ φίλον, μαθησόμεθα. Τὰ δὲ λοιπὰ ὀξυνόμενα ἀπὸ κλίσεώς εἰσι τούτων τῶν δύο, λέγω δὴ τοῦ φημί καὶ τοῦ εἰμί· τὸ γὰρ ἠμί τὸ ἐπὶ τοῦ λέγω οὐ ⟨φαίνεται⟩ κλινόμενον κατὰ τὸν ἐνεστῶτα· πρόσκειται «κατὰ τὸν ἐνεστῶτα» διὰ τὸ (Α 528) ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι ἀορίστου δευτέρου ὑπάρχον, ὡς εἴρηται· ἀπὸ δὲ τοῦ εἰμί γίνεται εἴς, οἷον (δ 611) αἵματός εἰς ἀγαθοῖο, φίλον τέκος, ἀντὶ τοῦ ὑπάρχεις, καὶ ἐσσί, (Α 176) ἔχθιστος δέ μοί ἐσσι, καὶ ἐστί καὶ ἐστόν καὶ ἐσμέν καὶ ἐστέ καὶ εἰσίν· ἀπὸ δὲ τοῦ φημί γίνεται φής φησί καὶ κατὰ ἀποκοπὴν φή, (Anacr. fr. 19 P.) σὲ γάρ φη Ταργήλιος (τὸ δὲ Ταργήλιος ὄνομά ἐστι δαίμονος), φατόν φαμέν φατέ φασί· καὶ τὸ φαθί δὲ προστακτικὸν ὀξύνουσιν, ὡς παρ' Ἀριστοφάνει (Eq. 22) ἐξόπισθε νῦν Αὐτὸ φαθὶ τοῦ μόλωμεν, ἀντὶ τοῦ εἰπέ; ibid. 321.5 alibi; id. Ep. Ps. 24.16 Τὰ εἰς ΜΙ λήγοντα βαρύτονα, πλὴν τοῦ φημί, εἰμί καὶ ἠμί διὰ τοῦ Η, ὅπερ ἀπὸ τοῦ φημί γέγονε κατὰ ἀποβολὴν τοῦ Φ. Καὶ ταῦτα διατί ὀξύ⟨νεται⟩; Διότι ἐγκλίνεται··καὶ τὰ ἐγκλινόμενα καθ' ἑαυτὰ μὲν ὄντα ὀξύνεται, μετὰ δὲ ἑτέρας λέξεως συντιθέμενα ἀναβιβάζει τοὺς τόνους, οἷον σύμφημι ἐγώ, ἠμί, ἀπό⟨φ⟩ημι; de oxytonesi formarum quae e motione verborum φημί et εἰμί oriuntur vid. etiam Hrd. ap. sch. **Ρ** 174a (φής) et ap. sch. η 239 (φής) et ap. Ep. Hom. ε 120 (ἐστέ, φατέ; vid. et locos a Dyck allatos); Hrd. **Π.** μον. λέξ. 950.4 (εἴς); Arc. 196.11 (φαθί); Ap. Dysc. adv. 133.5 (φή); id. synt. 374.4 (φαθί/φάθι); sch. (vetTr) Ar. Eq. 23 (φάθι/φαθί), unde Su. φ 22; Theod. II 83.24 (φασί); de accentu compositorum cum εἰμί, φημί vid. etiam Hrd. ap. sch. Α 577a[1] παράφημι: ὡς σύνθετον ἀνεβίβασε τὸν τόνον· τὰ γὰρ ὀξυνόμενα τῶν εἰς -μι τοιαῦτα et ap. sch. Α 577a[2] τὸ ἠμί καὶ φημί καὶ εἰμί ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον et ap. Ep. Hom. π 59 et ap. Ep. ad Α 577; Et. Gen. α 1577, vol. II p. 378.15, vid. et locos ibi allatos

1 κινήματα V: κονήματα A **2** φής Dindorf quasi ex A: φῇς AV | πάλιν Bloch: πάλαι AV

καὶ τὸ τούτου προστακτικὸν δεύτερον *φαθί*. πάλιν *εἰμί*, *εἴς*, *ἐστί* καὶ τὰ πληθυντικά. καὶ ταῦτα δέ, λέγω δὴ τὸ *φημί* καὶ *εἰμί*, συντιθέμενα βαρύνεται· *σύμφημι*, *σύνειμι*. ἔτι καὶ τὸ *ἠμί*, ὅπερ ταυτὸν δύναται τῷ *φημί*, ὀξύνεται.

94. Ταῦτά ἐστι τῶν ῥημάτων τὰ ὀξυνόμενα. εἰ δέ τί ἐστιν ἄλλο 5 ἐπὶ τέλους ἔχον τὸν τόνον, περισπᾶται· *ποιῶ*, *νοῶ*, *ποιοῦ*, *νοοῦ*, *ποιεῖν*, *νοεῖν* καὶ τὰ ὅμοια. τίνα δὲ πάλιν τούτων ἢ ἐπὶ τέλους ἢ πρὸ μιᾶς ἢ πρὸ δύο τὸν τόνον ἔχει τῆς *Καθόλου* πραγματείας ἔργον ἐστί.

Περὶ μετοχῶν (95–100)

95. Οὐδεμία μετοχὴ περισπᾶται, εἰ μὴ ἐκ συναιρέσεως εἴη. αὗται 10 δὲ ἢ εἰς *-ων* λήγουσι ἀρσενικαὶ οὖσαι ἢ οὐδέτεραι ἢ εἰς *-ουν* μόνως οὐδέτεραι· *ὁ ποιέων ὁ ποιῶν* καὶ *τὸ ποιέον τὸ ποιοῦν*, *ὁ βοάων ὁ βοῶν* καὶ *τὸ βοάον τὸ βοῶν*, *ὁ χρυσόων ὁ χρυσῶν* καὶ *τὸ χρυσόον τὸ χρυσοῦν*. ⟨αὗται μὲν οὖν ἐνεστῶτός εἰσι καὶ παρατατικοῦ τῶν περισπωμένων. περισπῶνται δὲ καὶ αἱ 15 εἰς *-ων* λήγουσαι⟩, εἰ γοῦν μέλλοντος εἴησαν τῆς πέμπτης συζυγίας,

9 μετοχῶν] Herodianus de accentu participiorum in libro XVII Catholicae disputaverat, cf. Arc. 4.17 **10–91,2** Οὐδεμία…σπερῶ] participia in -ων perispomena aut praesentis/imperfecti aut futuri temporis sunt: Theogn. 151.5 (can. 906) Πᾶσα μετοχὴ εἰς -ων λήγουσα, βαρύτονος ἢ περισπωμένη, ἐνεστῶτος χρόνου ἐστὶν ἢ μέλλοντος· οἷον λέγων, γράφων, ποιῶν, βοῶν, γράψων, ποιήσων, κερῶν. σεσημείωται ἡ πέφνων βαρύτονος οὖσα καὶ δευτέρου ἀορίστου; Theod. II 80.1; Choer. II 314.21 **16** πέμπτης συζυγίας] cf. e.g. D. Thr. 56.2 ἡ δὲ πέμπτη διὰ τεσσάρων ἀμεταβόλων, λ, μ, ν, ρ, οἷον πάλλω νέμω κρίνω σπείρω

1 προστακτικὸν V: προστακτικοῦ A | εἴς A: εἷς V **3** βαρύνεται Dindorf: βαρ^ύ A: βαρύνονται V | ἠμί Dindorf: ἡμί AV **7** ὅμοια] cave Dindorfio credas τοιαῦτα in AV exstare | τίνα Dindorf quasi ex A: τινὰ AV | ἢ Dindorf quasi ex A: ἡ AV **8** ἢ[1] add. Bloch **10** Οὐδεμία A: οὐδὲ μία V **11** λήγουσι Dindorf praef. ix: λήγουσαι AV **12** οὐδέτεραι V (coni. Dindorf praef. ix): οὐδέποτε A | ποιέων… ποιῶν A: ποιέων, ῶν V **13** βοάων…βοῶν[1] A: βοάων, ῶν V **13–14** χρυσόων… χρυσῶν A: χρυσόων, ῶν V **14** καὶ A: om. V | χρυσόον…χρυσοῦν A: χρυσόον, οῦν V **14–16** αὗται…λήγουσαι addidi (huiusmodi lacunas ratione in praef. V indicata expleo); de τῶν περισπωμένων vid. D. Thr. 57.5 **16** εἰ γοῦν scripsi: εἴγουν A: ἤγουν V | μέλλοντος A: μέλλοντες V | εἴησαν scripsi: εἰ ἦσαν AV

κερῶν, σπερῶν, κτενῶν, ἐπεὶ καὶ τὰ τούτων ῥήματα περισπᾶ-
ται· ⟨ὡς⟩ *ποιῶ βοῶ νοῶ, κερῶ κτενῶ σπερῶ*.

96. Ἐπειδὴ δὲ αἱ εἰς *-ων* λήγουσαι καὶ ἐπὶ τέλους ἔχουσαι τὸν
τόνον ἄδηλον εἴτε ὀξύνονται εἴτε περισπῶνται, ἐκ τῆς κλίσεως
5 δια⟨σ⟩τε⟨λ⟩λέσθωσαν. ὧν μὲν γὰρ αἱ πλάγιοι φύσει μακρᾷ παραλή-
γονται, τούτων πάντως καὶ αἱ εὐθεῖαι περισπῶνται, οἷον *βοῶντος
βοῶν, χρυσοῦντος χρυσῶν, κεροῦντος κερῶν, κτενοῦν-
τος κτενῶν*. ὧν δὲ μόνον ἐστὶ τὸ *-ο-* ἐν τῇ παραληγούσῃ, τούτων
αἱ εὐθεῖαι ὀξύνονται δευτέρου οὖσαι ἀορίστου· *λαβόντος λαβών,*
10 *δραμόντος δραμών*.

97. Αἱ δὲ λοιπαὶ πᾶσαι αἱ εἰς *-ων* λήγουσαι πρὸ μιᾶς ἔχουσι τὸν
τόνον· *καταλέγων, περιφέρων*.

3–10 Ἐπειδὴ…δραμών] discrimen posuit iam Aristarchus: sch. Π 827 (Hrd.)… εἰ δέ τις λέγοι «διὰ τί γὰρ οὐ περισπᾷ;» (scil. Aristarchus participium πεφνων), διδαχθήσεται ἐκ τῆς κλίσεως· οὐ γὰρ πεφνοῦντα ἐροῦμεν ἢ πεφνῶντα ὡς νοοῦντα; participia aoristi secundi oxytona sunt: Hrd. ap. sch. Π 827 {ὡς πολέας} πέφνοντα: ὡς τέμνοντα. οὕτως καὶ Ἀρίσταρχος. ὁ δὲ Τυραννίων (fr. 40 P.) παροξύνει ὡς λαβόντα, δεύτερον ἀόριστον ἐκδεχόμενος. οὕτως δὲ καὶ τὴν εὐθεῖαν ὀξύνει, «κῆρ ἄχεος μεθέηκα, χερείονά περ καταπεφνών» (Ρ 539), τοῦ Ἀριστάρχου βαρύνοντος. καί μοι δοκεῖ ὁ Τυραννίων λόγῳ ὑγιεῖ χρῆσθαι· εἰ γὰρ πέφνω πέφνεις πέφνει οὐ λέγομεν, ὑποτακτικῶς (sic scribe cum Bekkero) δὲ πέφνω, «πέφνῃς» (χ 346), «πέφνῃ» (Υ 172 al.) καὶ «πέφνε γὰρ Ὀθρυονῆα» (Ν 363), καὶ ἔστι δεύτερος ἀόριστος ὡς «ἔλαβε» (Δ 463 al.), λάβω λάβῃς, «λάβῃ» (Δ 230. Ω 480), δῆλον ὅτι ὀφείλομεν καὶ τὴν μετοχὴν ὀξύνειν…; Hrd. Pros. Cath. vel Il. Pr. ap. Ep. Hom. β 22 (vid. et locos a Dyck allatos); Theogn. 151.9 (can. 907) Πᾶσα μετοχὴ εἰς -ων λήγουσα ὀξύτονος, δευτέρου ἀορίστου ἐστίν, οἷον λαβών, λαθών, φαγών, πιών· σημειώδεις ἡ ὤν καὶ ἐών ὀξύτονοι (-οι ego: -α Cramer: ὀξύ^τ cod.) ἐπὶ ἐνεστῶτος· ὁμοίως δὲ καὶ ἡ ἑκών ἀπὸ τοῦ εἴκω ῥήματος, ὃ δηλοῖ τὸ ὑποχωρῶ, ἀποβολῇ τοῦ ι καὶ τροπῇ τῆς ψιλῆς εἰς δασεῖαν καὶ τῆς βαρείας εἰς ὀξεῖαν; Theod. II 79.15; Choer. II 305.19 ὀξύνονται δέ, ἡνίκα ὦσι δευτέρου ἀορίστου, οἷον ἔτυπον τυπών, ἔλαβον λαβών, ἔμαθον μαθών, ἔφαγον φαγών· καθόλου γὰρ αἱ εἰς -ων μετοχαὶ τοῦ δευτέρου ἀορίστου ὀξύνονται, ⟨οἷον⟩ λαβών φαγών ἐνεγκών εὑρών, χωρὶς τοῦ πέφνων, ὅπερ βαρύνεται ὁμοίως τῷ τέμνων καὶ κάμνων; etiam alibi ap. Choer.

1 κερῶν…κτενῶν A: κερῶ, σπερῶ, κτενῶ V **1–2** περισπᾶται scripsi: περισπῶνται AV **2** ὡς add. Egenolff[2] 241 **5** διαστελλέσθωσαν scripsi coll. De acc. § 14 αἱ εἰς -ων λήγουσαι μετοχαὶ καὶ ἐπὶ τέλους ἔχουσαι τὸν τόνον οὕτω διαστέλλονται (v. etiam § **79** ἡ γὰρ γραφὴ τὴν διαστολὴν ποιεῖται): διατελέσθωσαν AV (cave Dindorfio credas librum A διατελείσθωσαν praebere) μακρᾷ V^p.c.^ (coni. Dindorf): μακραὶ AV^a.c.^

98. Τῶν δὲ εἰς -ας αἱ μὲν τοῦ πρώτου ἀορίστου πᾶσαι πρὸ μιᾶς ἔχουσι τὸν τόνον· *τελέσας*. ἐνεστῶτος δὲ καὶ παρατατικοῦ τῶν εἰς -μι πᾶσαι ὀξύνονται· *ἱστάς, κιχράς*.

99. Αἱ δὲ εἰς -εις καὶ εἰς -ους καὶ εἰς -ως πᾶσαι ὀξύνονται· *τιθείς, βιούς, πεποιηκώς*. 5

4–5 Αἱ…πεποιηκώς] cf. Choer. II 319.24 Ἔλθωμεν δὲ καὶ εἴπωμεν, ποῖα φωνήεντα ἔχουσι πρὸ τοῦ -ς αἱ εἰς -ς ὀξύτονοι μετοχαί. Ἰστέον ⟨οὖν ὅτι⟩ αἱ εἰς -ς ὀξύτονοι μετοχαὶ παρακειμένου καὶ ὑπερσυντελίκου οὖσαι πρὸ τοῦ -ς τὸ -ω- ἔχουσιν, οἷον τετυφώς, πεποιθώς· ἀορίστου δὲ παθητικοῦ οὖσαι πρώτου ἢ δευτέρου, εἴτε ἀπὸ τῶν εἰς -ω εἰσὶν εἴτε ἀπὸ τῶν εἰς -μι, τὴν -ει- δίφθογγον ἔχουσι πρὸ τοῦ -ς, ἀπὸ μὲν τῶν εἰς -ω, ⟨οἷον⟩ τυφθείς νυγείς, ἀπὸ δὲ τῶν εἰς -μι, ⟨οἷον⟩ τεθείς σταθείς δοθείς· ἐνεστῶτος δὲ καὶ παρατατικοῦ οὖσαι ἐνεργητικοῦ, ἐνεργητικοῦ τε ὁμοίως δευτέρου ἀοριστοῦ, εἰ μὲν πρώτης ὦσι συζυγίας τῶν εἰς -μι, τὴν -ει- δίφθογγον ἔχουσι πρὸ τοῦ -ς, οἷον ἐτίθην τιθείς, ἔθην θείς, ἵην (τὸ ἔπεμπον) ἱείς καὶ ἀφιείς, ἧν (ἐπὶ τοῦ αὐτοῦ σημαινομένου) εἵς καὶ ἀφείς· εἰ δὲ δευτέρας ὦσι συζυγίας τῶν εἰς -μι, τὸ -α- ἐκτεταμένον ἔχουσι πρὸ τοῦ -ς, οἷον ἵστην ἱστάς, ἐκίχρην κιχράς, ἔστην στάς, ἔπτην πτάς καὶ ἀποπτάς, ἔβην βάς· εἰ δὲ τρίτης ὦσι συζυγίας τῶν εἰς -μι, τὴν -ου- δίφθογγον ἔχουσι πρὸ τοῦ -ς, ⟨οἷον⟩ ἐδίδων διδούς, ἐβίων βιούς, ἥλων ἁλούς, ἔγνων γνούς· εἰ δὲ τετάρτης ⟨ὦσι⟩ συζυγίας τῶν εἰς -μι, ἐκεῖνο τὸ φωνῆεν ἔχουσι πρὸ τοῦ -ς, ὅπερ ἔχει πρὸ τοῦ -ν τὸ ὁριστικόν, ἤγουν τὸ -υ- ἐκτεταμένον, οἷον ἐζεύγνυν ζευγνύς, ἐπήγνυν πηγνύς, ὤμνυν ὀμνύς, ἔφυν φύς, ἔδυν δύς καὶ ἀποδύς; etiam alibi ap. Choer.; participia in -εις etiam ap. Theogn. 152.29 (can. 920) Αἱ εἰς -εις μετοχαὶ ἐπὶ ἐνεστῶτος ἢ καὶ παρῳχημένου χρόνου ὀξύνονται καὶ διὰ τῆς -ει- διφθόγγου γράφονται, οἷον τιθείς, ἱείς, ληφθείς, τυπείς; participia in -ως etiam ap. Theogn. 152.4 (can. 912) Αἱ εἰς -ως (post -ως verbum ἀπαθεῖς deletum est), λήγουσαι ἀρσενικαὶ μετοχαὶ διὰ τοῦ -ω- μεγάλου γράφονται ἐπ᾽ εὐθείας καὶ κλητικῆς πτώσεως, οἷον τετυφώς, τετυπώς, πεποιηκώς, νενοηκώς

1 Τῶν scripsi: αἱ AV

100. Αἱ δὲ εἰς *-μενος* πᾶσαι προπαροξύνονται, χωρὶς τῶν τοῦ παρακειμένου· *τυπτόμενος, γραφόμενος, γραψάμενος.* αἱ γὰρ τοῦ παρακειμένου πρὸ μιᾶς ἔχουσι τὸν τόνον· *πεποιημένος, πεφιλημένος.* αὗται δέ, αἱ τοῦ παρακειμένου, εἰ πάθωσί τι, 5 προπαροξύνονται, ὡς ἀπὸ τοῦ *βεβλημένος βλήμενος, ἐληλασμένος ἐληλάμενος·* καὶ ἡ *ἄσμενος* δὲ καὶ *ὄρμενος* καὶ

1–95,2 Αἱ…προπαροξύνονται] cf. Choer. II 315.21 Ἰστέον δὲ ὅτι πᾶσαι αἱ εἰς -μενος μετοχαὶ προπαροξύνονται, χωρὶς τοῦ παρακειμένου … δεῖ προσθεῖναι «χωρὶς εἰ μὴ πάθωσιν»· ἂν γὰρ πάθωσιν αἱ εἰς -μενος μετοχαὶ τοῦ παρακειμένου, μὴ οὖσαι ὑπὲρ τρεῖς συλλαβάς, ἀναβιβάζουσι τὸν τόνον, τουτέστι προπαροξύνονται, οἷον ὄρω (τὸ διεγείρω) ὄρσω ὦρκα ὦρμαι ὠρμένος διὰ τοῦ ω καὶ ὄρμενος διὰ τοῦ ο· καὶ πάλιν ἐστὶν ἥδω (τὸ εὐφραίνω, ἐξ οὗ τὸ ἥδομαι) ἥσω ἧκα ἧσμαι ἡσμένος καὶ ἄσμενος, καὶ πάλιν δεδεγμένος καὶ δέγμενος· πρόσκειται «μὴ οὖσαι ὑπὲρ τρεῖς συλλαβάς», ἐπειδὴ ἐὰν ὦσιν ὑπὲρ τρεῖς συλλαβὰς καὶ πάθωσιν, τὸν αὐτὸν τόνον φυλάττουσιν, οἷον ἀκαχῶ ἀκαχήσω ἠκάχηκα ἠκάχημαι ἠκαχημένος καὶ (e.g. K 135) ἀκαχμένον ὀξέϊ χαλκῷ· τὸ οὐτάμενος καὶ ἐληλάμενος ὁ Ἡρωδιανὸς ἐν τῇ Καθόλου οὐ δοξάζει κατὰ πάθος ἀπὸ τοῦ οὐτασμένος καὶ ἐληλασμένος, ἐπειδὴ ὡς ὄντα ὑπὲρ τρεῖς συλλαβὰς ὤφειλον τὸν αὐτὸν τόνον φυλάξαι, ἀλλ' ἀπὸ τῶν εἰς -μι λέγει αὐτὰ εἶναι, ὡς ἀπὸ τοῦ οὔτημι καὶ ἐλήλημι, ἵνα ὦσιν ἐνεστῶτος καὶ παρατατικοῦ, ὥσπερ ἵστημι ἵσταμαι ἱστάμενος id. Ep. Ps. 44.16 **5** βεβλημένος βλήμενος] cf. Hrd. ap. Et. Gen. β 139 Βλήμενος (Δ 211 …)· † ἀσκηθής (λ 535)· ὥσπερ τὸ † οὐτασμένος (λ 536) ἀναδρομὴν ἔπαθεν τόνου, οὕτως καὶ τὸ βλήμενος ἐκ τοῦ βεβλημένος (λ 535) κατὰ συγκοπήν. οὕτως Ἡρωδιανός, vid. et locos a L.–L. allatos; Tryph. pass. 21 Ἄρσις δέ ἐστιν ἀποβολὴ κατ' ἀρχὴν τῆς ἀναδεδιπλωμένης συλλαβῆς, οἷον … βεβλημένος βλήμενος, δεδεγμένος δέγμενος· εἰ μὴ ἀνάπαλιν τὸ βλήμενος καὶ δέγμενός εἰσιν Αἰολικὰ συγκοπέντα κατὰ τὸ μέσον **5–6** ἐληλασμένος ἐληλάμενος] Iohannes a Herodiano abhorret ἐληλάμενος ab ἐληλασμένος ducens (cf. Choer. II 316.19 supra laudatum); assentitur Apollonio Dysc. adv. 134.32 καὶ ἡ μὲν ὁλόκληρος προφορὰ τοιαύτη (scil. ἀεκαστί). ἐνδεήσαντος δὲ τοῦ -σ-, καὶ Ἰωνικώτερον μετατεθέντος τοῦ α εἰς η, καθότι καὶ τὸ διπλάσιον διπλήσιον, ἀναγκαίως καὶ τὰ τοῦ τόνου συνανεβιβάζετο, καθ' ὃν τρόπον καὶ ἄλλα μόρια, ἐνδεήσαντα τοῦ -σ-, ἀνεβίβαζε τὸν τόνον, δεσποστής δεσπότης, ἐργαστής ἐργάτης, οὐτασμένοι οὐτάμενοι, συνεληλασμένοι συνεληλάμενοι. **6** ἄσμενος] praeter Choer. supra laudatum cf. etiam Et. Gen. α 1287; EM α 1934 ἄσμενος (Υ 350): ἥδω, τὸ εὐφραίνομαι· ὁ παθητικὸς παρακείμενος, ἧσμαι, ἡ μετοχὴ ἡσμένος καὶ ἄσμενος τροπῇ τοῦ η εἰς α. ἐξ αὐτοῦ ἀσμενίζω καὶ (Method. episc. p. 352D Migne) «συνασμένιζε», τὸ συνευφραίνου. τινὲς δὲ λέγουσι μὴ εἶναι μετοχήν, λέγοντες ὅτι πᾶσαι αἱ τοῦ παρακειμένου μετοχαὶ [προ]παροξύνονται, πρὸς οὕς

4 πάθωσί Bloch praef. ix et Egenolff[2] 241: πάθουσι AV **6** ἡ] cave Dindorfio credas ὁ in AV exstare | ὄρμενος V: ὅρμενος A

ἄρχμενος καὶ δέγμενος καὶ ἄλμενος καὶ ἐμπλήμενος καὶ

φαμεν, ὅτι λέγουσιν οἱ τεχνικοὶ μετοχὴν εἶναι παρακειμένου, ἀπὸ τοῦ ἥδω ἡσμένος, κατὰ συστολὴν ἀρχούσης, ἄσμενος, καὶ ἅμα τῇ συστολῇ ἀνεβίβασε τὸν τόνον καὶ προπαροξύνεται; Et. Gud. 515.19 | ὄρμενος] praeter Choer. cf. etiam Hrd. ap. sch. **Φ** 14a[1] ὄρμενον {ἐξαίφνης}: ...καὶ ἤτοι ἐκ τοῦ ὡρμένον ἐστί, παρῳχημένον σημαίνοντος, καὶ ἔπαθε συστολὴν καὶ ἀναδρομὴν τοῦ τόνου, ἢ καὶ ἐκ τοῦ ὀρόμενον συνεκόπη, vid. et locos quos cum hoc composuit Erbse; similia sch. **Φ** 14a[2]; **EM** α 1899 (vid. ad ἄρχμενος infra)

1 ἄρχμενος] cf. Hrd. ap. Et. Gen. α 1250 ἄρχμενος (Call. fr. 7.25 Pf.…)· δηλοῖ ἀρχόμενος· Ἡρωδιανὸς Περὶ παθῶν; Et. Sym. α 1432 ἄρχμενος (Call. fr. 7.25…)· ἄρχω ἄρχομαι ἀρχόμενος καὶ ἐν συγκοπῇ ἄρχμενος; EM α 1899 ἄρχμενος (Call. fr. 7.25 Pf.)· ἄρχομαι ἀρχόμενος καὶ κατὰ συγκοπὴν ἄρχμενος. ὤφειλε δὲ ἄργμενος· φυλάξαν δὲ τὸ χ δοκεῖ Ἰωνικὸν εἶναι, καθὸ καὶ τὸ ἔργμα ἔρχμα φασίν. ἐνεστῶτος οὖν εἰσιν αἱ τοιαῦται μετοχαὶ συγκοπὴν παθοῦσαι, ὡς τὸ λεγόμενος λέγμενος, ὀρόμενος ὄρμενος (scripsi: ὀρώ- ὄρ- codd.)· δεχόμενος δέγμενος. τινὲς δὲ λέγουσι παρακείμενον εἶναι | δέγμενος] praeter Choer. cf. etiam Tryph. pass. 21 Ἄρσις δέ ἐστιν ἀποβολὴ κατ' ἀρχὴν τῆς ἀναδεδιπλωμένης συλλαβῆς, οἷον … βεβλημένος βλήμενος, δεδεγμένος δέγμενος· εἰ μὴ ἀνάπαλιν τὸ βλήμενος καὶ δέγμενός εἰσιν Αἰολικὰ συγκοπέντα κατὰ τὸ μέσον; EM 252.43 Δέγμενος: Ἀπὸ τοῦ δεδεγμένος, κατὰ συγκοπὴν, δέγμενος· ὡς εἶναι παρακείμενος. Ἢ ἀπὸ τοῦ δεχόμενος, ὡς εἶναι ἐνεστώς. Τὸ δὲ χ εἰς γ μετεβλήθη, τῆς συντάξεως οὕτως ἀπαιτούσης. Ζήτει εἰς τὸ ἄρχμενος. | ἄλμενος] cf. Hrd. παθ. ap. Et. Gen. α 517 Ἅλμενος (Ο 571)· εἴ τινά που Τρώων ἐξάλμενος· ἐξαλόμενος, καὶ κατὰ συγκοπὴν ἐξάλμενος. οὕτως Ἡρωδιανὸς Περὶ παθῶν (fr. novum), vid. et quos cum hoc composuerunt locos L.–L.

1 ἄρχμενος Lobeck[2] I 187 not. 5: ἀρχόμενος AV: ἀκαχήμενος Egenolff[2] 242 δέγμενος Bloch praef. ix: δεδαλμενος (sic) V: δεδ, post quod spat. vac. reliquit A

οὐτάμενος, εἴτε παρακειμένου εἶεν πάθος εἴτε ἄλλου χρόνου, εἰκότως προπαροξύνονται.

Περὶ ἄρθρων (101–104)

101. Πᾶν ἄρθρον ὀξύνεται χωρὶς τῶν γενικῶν καὶ δοτικῶν. αὗται γὰρ περισπῶνται· *τοῦ, τῷ, τῆς, τῇ, τοῖν, ταῖν, τῶν, τοῖς,*
5 *ταῖς.*

102. Καὶ τὰ τούτων δὲ ὑποτακτικὰ ἀποβολῇ τοῦ *τ*- γινόμενα περισπᾶται.

1 οὐτάμενος] praeter Choer. cf. etiam Hrd. ap. sch. Λ 659c, οὐτάμενοι {τε}: Ἀρίσταρχος ὡς «ἱστάμενοι» (Μ 341al.) καὶ κιχράμενοι, Πάμφιλος δὲ ὡς δεδαρμένοι, ἐπεὶ καὶ τὸ βεβλημένοι συντελικόν. καὶ δοκεῖ τὸ τοιοῦτον ἐπὶ ἑνικοῦ ἀριθμοῦ πολὺ πρότερον τεθεωρῆσθαι παρ' αὐτῷ· φησὶ γὰρ «⟨οὔτ' ἂρ βεβλημένος⟩ ὀξέϊ χαλκῷ / οὔτ' αὐτοσχεδίην οὐτασμένος» (λ 535—6)· συντελικῇ γὰρ μετοχῇ συντελικὴν ἐπήνεγκεν. οὕτως οὖν καὶ ἐπὶ τῶν πληθυντικῶν ἀναγινώσκειν ἔδει, εἰ μὴ ἄρα ἐκεῖνό τις ὑπὲρ τοῦ Ἀριστάρχου λέγοι ὅτι οὐκ ἐνεστῶτα ἐκδεχόμενος οὕτως ἀνεγίνωσκεν, ἀλλὰ παρακείμενον πεπονθότα. ἔχει δὲ οὕτως· παρὰ τὸ οὐτῶ περισπώμενον ἐκπίπτει παράγωγον εἰς -μι λῆγον τὸ οὔτημι, ἀφ' οὗ ἀπαρέμφατον τὸ οὐτάναι καὶ «οὐτάμεναι» (Φ 68). ἀπὸ δὴ τοῦ οὔτημι γίνεται παθητικὴ μετοχὴ οὐτάμενος καὶ οὐτάμενοι ὡς κιχράμενοι. ἀλλ' οὔ φαμεν ταύτην εἶναι ἐν τῇ συντάξει, ἀλλ' ἕτερόν τι αὐτῷ σύνηθες ῥῆμα εἶναι, τὸ οὐτάζω, ὅθεν καὶ «οὔτασεν» (Ε 56. 361 al.) ὁ ἀόριστος· οὐ γὰρ δὴ συστολὴ τοῦ «οὔτησεν» (Δ 469 al.), ὡς πρόδηλον κἀκ τοῦ ἀπαρεμφάτου «οὐτάσαι οὐδὲ βαλεῖν» (Ξ 424) καὶ ἐκ τοῦ «οὔτασται δ' Ὀδυσεύς» (Λ 661). τούτῳ δὴ τῷ οὔτασται παρέθηκε μετοχὴν τὴν οὐτασμένος, «οὔτ' αὐτοσχεδίην οὐτασμένος» (λ 536), ἥτις κατ' ἔλλειψιν τοῦ -σ- ἐγίνετο οὐταμένος. προπαρωξύνθη δὲ ὑπὸ τοῦ Ἀριστάρχου διὰ τὸν χαρακτῆρα, ἐπεὶ αἱ τοιαῦται μετοχαὶ προπαρωξύνοντο, «ἱστάμενος» (Δ 203 al.), κιχράμενος· ὁ γὰρ ἀνὴρ τῷ χαρακτῆρι μᾶλλον τοὺς τόνους προσνέμει. ἄλλως δὲ καὶ ἡ γινομένη τοῦ -ς ὕφεσις καὶ ἀναδρομὴν ἐργάζεται τόνου, vid. et locos ab Erbse allatos; Hrd. ap. sch. Π 24b **2** ἄρθρων] Herodianus accentum articulorum in libro XVIII Catholicae tractaverat, cf. Arc. 4.18

1 πάθος V: παθ, post quod spat. vac. reliquit A: παθητικοῦ Bloch praef. ix **2** προπαροξύνονται Bloch: παροξύνονται A: παροξύνεται V **4** τῷ A: τῶ V | τῆς A: om. V | τῇ A: τῆ V **6** ὑποτακτικὰ V (coni. Bloch): ὑποτακτικῶν A γινόμενα Lentz 473.32 (cf. § **105** κατὰ ἀποβολὴν τοῦ *σ*- ἀπὸ δευτέρων γινόμενα): κλινόμενα AV **7** περισπᾶται scripsi: περισπῶνται AV

103. Ὁμοίως καὶ τὸ κλητικὸν ὦ, ⟨ὃ⟩ ἄρθρον μὲν οὔκ ἐστιν ἀλλ' ἐπίρρημα, περισπᾶται. ὅμως δὲ ⟨ψιλοῦται⟩, τῶν ἀπὸ φωνήεντος ἀρχομένων ἄρθρων δασυνομένων, ὡς τὸ «*ᾧ ἐχαρισάμην*».

104. Τὰ δὲ λοιπὰ πάντα ὀξύνεται.

Περὶ ἀντωνυμιῶν (**105–117**)

105. Πᾶσα πρωτότυπος ἀντωνυμία ἑνικὴ ἀπαθής, ὑπεσταλμένων 5 τῶν καλουμένων μονοπροσώπων, ὀξύνεσθαι θέλει κατὰ πᾶσαν πτῶσιν ἐν τοῖς τρισὶ προσώποις, πλὴν τῆς εἰς *-ου* γενικῆς· (1) *ἐγώ*, *σύ*, *ἵ*. (⟨ἐπεκτει⟩νομένη δὲ ἡ *ἐγώ* παρ' Ἀθηναίοις ἐν τῷ *ἔγωγε* τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ὡς καὶ ἡ *ἔμοιγε* δοτική. ἡ δὲ *σύγε* φυλάττει τὸν τόνον τῆς *σύ* μονοσυλλάβου). (2) *ἐμέ*, *σέ*, *ἕ*. 10

1–3 Ὁμοίως…ἐχαρισάμην] ὦ cur adverbium et non articulus putandum sit explicat Ap. Dysc. praesertim in synt. 70.9; vid. etiam locos ad Ap. Dysc. pron. 6.10 a Schneider indicatos; Theogn. 154.4 (can. 929); sch. (Marc.) D. Thr. 421.17; Choer. I 135.4; Ep. Hom. **ω** 30; vid. etiam Ap. Soph. 169.30 qui tamen ὦ in articulorum numero habet; vid. etiam § **143** (4) **4** ἀντωνυμιῶν] Herodianus de accentu pronominum in libro XVIII Catholicae egerat, cf. Arc. 4.18 **5–97,4** Πᾶσα…πρόκειται] Choer. Ep. Ps. 35.24 Αἱ πρωτότυποι ἀντωνυμίαι ἑνικαὶ οὖσαι ὀξύνονται (scripsi: ὀξύνεται cod.), ὑπεσταλμένων τῶν γενικῶν ὀνομάτων, καὶ τῆς δοτικῆς τοῦ τρίτου προσώπου **8–9** ἐπεκτεινομένη…δοτική] cf. Hrd. ap. sch. A 174 … τὴν δὲ ἔμοιγε προπαροξυτονητέον· ἔστι γὰρ Ἀττικὴ ὡς καὶ ἡ ἔγωγε et ap. sch. A 173c ⟨ἔγωγε:⟩ οὕτως προπαροξυτονητέον τὸ ἔγωγε, ἵν' ᾖ ἕν (vid. et locos ab Erbse allatos) et ap. sch. A 173–4 …τὸ δὲ ἔμοιγε προπαροξυτόνως ὡς ἔγωγε **10** σύγε] cf. Ap. Dysc. pron. 54.4, alibi

1–3 Ὁμοίως…ἐχαρισάμην sic textum ego distinguo: ὁμοίως καὶ τὸ κλητικὸν ὦ ἄρθρον μὲν οὐκ ἔστιν, ἀλλ' ἐπίρρημα, περισπᾶται δὲ ὅμως ⟨καὶ ψιλοῦται⟩ τῶν ἀπὸ φωνηέντων (sic pro φωνήεντος) ἀρχομένων ἄρθρων δασυνομένων «ᾧ ἐχαρισάμην» interpunxit Lentz 473.32 sqq. **1** ὃ addidi **2** post ὅμως spat. vac. in A: ὑποτακτικὸν ὧν (sic pro ὄν) suo Marte V (vid. Egenolff[2] 242) | ὅμως δὲ scripsi: δὲ ὅμως AV | ψιλοῦται addidi praeeunte Lentz 473.34 qui καὶ ψιλοῦται addiderat (vid. supra ad ὁμοίως…ἐχαρισάμην) coll. Theogn. 154.12 (can. 929) **3** ὡς τὸ V: om. A **4** ὀξύνεται scripsi: ὀξῦ A: ὀξύνονται V **4** ἀντωνυμιῶν V: ἀντωνυμίας A **5** ὑπεσταλμένων Bloch: ὑπεσταλμένη AV **8** ἵ spiritu aspero Lentz 474.6: ἴ spiritu leni AV; post ἴ spat. vac. reliquerunt AV | ἐπεκτεινομένη add. Lentz 474.6 **9** τέλους V suo Marte (add. iam Bloch): spat. vac. in A | καὶ A: om. V | ἡ[1] V: οἱ A **10** φυλάττει AV$^{p.c.}$: φυλλάττει V$^{a.c.}$ | τῆς V: om. A spat. vac. relicto | σύ Egenolff[2] 242: σέ AV | μονοσυλλάβου V: μονοσυλλ^{ά} A

(3) *ἐμοί*, *σοί*· ἡ δὲ τοῦ τρίτου *οἷ* ἔχει περισπωμένην, ὀφείλουσα καὶ αὐτὴ ὀξύνεσθαι. τὰ γὰρ ἀπὸ τοῦ *σ*- ἀρχόμενα ⟨δεύτερα καὶ τὰ τρίτα τὰ⟩ κατὰ ἀποβολὴν τοῦ *σ*- ἀπὸ δευτέρων γινόμενα ὁμοτονεῖ· καὶ τὰ ὑ⟨ποδείγματα τούτων⟩ πρόκειται.

5 **106.** Αἱ γενικαί, *ἐμοῦ*, *σοῦ*, *οὗ*, περισπῶνται· εἴπομεν ἤδη ⟨ὅτι καταλήγουσα ἡ⟩ διὰ τοῦ -*υ* δίφθογγος ἀπέστραπται τὴν ὀξεῖαν τάσιν, χωρὶς τῆς *οὔ* ⟨ἀποφάσεως⟩ καὶ τοῦ *ἰδού* δεικτικοῦ καὶ τοῦ *ἰού* σχετλιαστικοῦ. αἱ ἐκ τούτων δ⟨ιαιρεθεῖσαι⟩ ἢ πλεονάσασαι τῷ -*ι*

1 ἐμοί…περισπωμένην] dativi singulares trium personarum: Hrd. ap. sch. **I** 392a ὅς τις οἷ τ' {ἐπέοικε}: εἰς ἁπλῆν μεταλαμβάνεται ἡ ἀντωνυμία, ὅστις αὐτῷ. ⟨***⟩ περισπασθήσεται οὖν. | δείκνυται δὲ ἐν τοῖς Περὶ ἀντωνυμιῶν ('haec verba fort. non ex Herodiani libro prorsus obscuro, sed ex Ap. Dysc. pron. 80.24 fluxerunt, cf. Beiträge 85' Erbse ad loc.) ὡς ὅτι ἡ ἐμοί ἐπὶ δοτικῆς καὶ ἔτι ἡ σοί ὀξύνονται, ἡ δὲ οἷ περιεσπάσθη ἀνακολούθως, vid. et locos ab Erbse allatos; Ap. Dysc. pron. 80.24 Αἱ κατὰ ⟨τὸ⟩ πρῶτον καὶ δεύτερον πρόσωπον τῆς δοτικῆς ὀξυνόμεναι τὴν κατὰ τὸ τρίτον περισπωμένην ἔχουσι· «σοὶ μὲν γὰρ ἐγώ, σὺ δ' ἐμοί» (Δ 63)· ἐπὶ δὲ τοῦ «ἦ ὀλίγον οἷ παῖδα» (Ε 800) περισπῶμεν. ὅθεν ὡς παράλογον ὁ Σιδώνιος ὤξυνεν, ἧ αἱ ὁμοιοκατάληκτοι καὶ ὁμότονοι κατὰ πᾶν πρόσωπον sqq.; Choer. I 376.1; id. Ep. Ps. 35.35 **5–8** εἴπομεν…σχετλιαστικοῦ] vid. §§ **54**, **145**, **202** **8–98,5** αἱ…ἕθεν] cf. Eust. Il. I 53.17 Ὅτι τὸ ἐμοῦ καὶ σοῦ καὶ οὗ πενταχῶς κινεῖται. τὰ μὲν γὰρ πρωτότυπα ἐμοῦ σοῦ οὗ· ἡ δὲ διάλυσις ποιεῖ αὐτὰ ἐμέο σέο ἕο. ταῦτα δὲ συναίρεσις μὲν ποιητικὴ συναλείφει εἰς τὸ ἐμεῦ σεῦ εὗ· ἐπένθεσις δὲ τοῦ ι μετάγει εἰς τὸ ἐμεῖο σεῖο εἷο· παραγωγὴ δὲ μετασύρει αὐτὰ εἰς τὸ ἐμέθεν σέθεν ἕθεν. καί εἰσι τούτων πάντων αἱ χρήσεις παρὰ τῷ ποιητῇ; ἐμέθεν, σέθεν, ἕθεν ex genetivis Ionicis prolata putat etiam Ap. Dysc. adv. 184.32; aliter de his iudicat Hrd. ap. Ep. Hom. ε 91 ἕθεν (**Γ** 128): ποίου εἴδους; πρωτοτύπου. οἱ μὲν νέοι κατὰ διάλυσιν ποιοῦσιν ἐκ τοῦ σοῦ σέο σεόθεν καὶ κατὰ συγκοπὴν καὶ ἀποβολῇ τοῦ σ ἕθεν. ὁ δὲ Ἡρωδιανὸς ἐκ τοῦ ἐμέ σέ ἕ τρίτου προσώπου κατ' ἐπέκτασιν τῆς θεν, vid. et locos a Dyck allatos; de ἐμοῦ, ἐμέο, ἐμεῖο vid. etiam Ep. Hom. ε 95 … τὸ ἐμοῦ τὸ πρωτότυπον γίνεται κατὰ διάλυσιν ἐμέο ἐμεῖο καὶ ἐμεῦ …. | τὸ δὲ … ἐμοῦ … διαλύσει τῆς ου διφθόγγου Ἰωνικῶς ἐμέο

1 post τρίτου add. ἀντωνυμία V **2** τοῦ A: τῶν εἰς V **2–3** δεύτερα…τὰ[1] exempli gratia supplevi: spat. vac. in AV **4** ὑποδείγματα τούτων e.g. supplevi: spat. vac. in AV (ὑ tantum in V) **5** ἤδη scripsi: εἰ μὴ V: om. A spat. vac. relicto **6** ὅτι…ἡ addidi (coll. § **54**): ὅτι ἡ add. Lentz 474.14: spat. vac. in AV | διὰ…δίφθογγος Lentz 474.14 coll. § **54**: ἀπὸ τοῦ ου διφθόγγου AV **7** τάσιν V (coni. Bloch): τάξιν A | ἀποφάσεως add. Bloch praef. x: spat. vac. in AV | δεικτικοῦ A: δεικτικαὶ V **8** post αἱ add. δὲ Lentz 474.16 | διαιρεθεῖσαι addidi coll. § **11** ὅτι τὴν -ει- δίφθογγον διεῖλεν, Ap. Dysc. pron. 38.17, 81.14, 90.17, 99.20, 87.2, multisque aliis locis: *δ* solum et spat. vac. exstant in AV: διαλυθεῖσαι Lentz 474.16, δὲ λυθεῖσαι iam Bloch praef. x

ἢ κατὰ φωνὴν παραχθεῖσαι εἰς -*θεν* πρὸ μιᾶς ἔχουσι τὸν τόνον· *ἐμέο*, *ἐμεῖο*, *ἐμέθεν*. ἡ δὲ *ἐμεῦ* συνῃρημένη ⟨ἐκ τῆς *ἐμέο*⟩ παρ᾽ Ἴωσι περισπᾶται· «ἐμεῦ δ᾽ ἕλετο μέγαν ὅρκον» (δ 746). ὁμοίως τοῦ δευτέρου καὶ τοῦ τρίτου, *σέο*, *σεῖο*, *σεῦ*, *σέθεν*, *ἕο*, *εἷο*, *εὗ*, *ἕθεν*. 5

καὶ πλεονασμῷ τοῦ ι ἐμεῖο· ἐκ δὲ τοῦ ἐμέο συναιρέσει τοῦ εο εἰς τὴν ευ δίφθογγον ἐμεῦ ....; formas ἐμέο, σέο et sim. genetivos esse pronominis primitivi, non possessivi declarant Ptolem. et Hrd. ap. sch. A 396b[1], vid. et locos ab Erbse allatos

1 ἢ V (add. Bloch): om. A **2** ἐμεῖο A: ἐμοῖο V | ἐμεῦ A: ἐμέος V | ἐκ ... ἐμέο[2] exempli gratia supplevi (cf. Hrd. ἀντων. 846.15 = Ep. Hom. τ 62 ...(l.46) συναλιφόμενον δὲ (scil. vocabulum τέο) γίνεται τεῦ, ὡς ἐμοῦ ἐμεῦ, σοῦ σεῦ· ἐκ τοῦ ἐμέο καὶ σέο): post συνηρημένη spat. vac. reliquit A, nullum V **3** ἕλετο V: ἔλετο A | ὅρκον V ὄρκον A **3–4** τοῦ δευτέρου A suo Marte: spat. vac. in V **4–5** ἕο ... ἕθεν spiritibus asperis voces scripsit A: spiritus lenes vocibus imposuit V

107. Αἱ δυϊκαὶ πρώτου καὶ δευτέρου προσώπου κοιναὶ καὶ ἀπαθεῖς προπερισπῶνται, *νῶϊ*, *σφῶϊ*, ⟨κατ' εὐθεῖαν⟩ καὶ αἰτιατικήν. ταύτας κατὰ ἀποβολὴν τοῦ -*ι* μονοσυλλάβως Ἀθηναῖοι προφέρουσι, *νώ*, *σφώ*, οὐκ ἔτι περισπωμένως, καίτοι τῷ λόγῳ τῆς

1–100,3 Αἱ...ἀποκοπήν] cf. Hrd. ap. sch. Ε 219a {πρίν γ' ἐπὶ} νώ: τὸ νώ βαρυτονητέον. ἅπαξ δὲ ἐν Ἰλιάδι, καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ (ο 475) ἐχρήσατο κατ' αἰτιατικὴν πτῶσιν, ὥσπερ καὶ ἐνθάδε, «νὼ ἀναβησάμενοι». ὁπότε μέντοι γε σὺν τῷ ι λέγεται, καὶ ἐπ' εὐθείας αὐτὸ τάσσει καὶ ἐπ' αἰτιατικῆς καὶ προπερισπᾶται· «νῶϊ δ' ἐγὼ Σθένελός τε» (Ι 48) καὶ «οὐδ' ἂν νῶϊ διαδράκοι ἠέλιός περ» (Ξ 344). | περὶ δὲ τῆς τάσεως τοῦ μονοσυλλάβου, διὰ τί οὐ περιεσπάσθη, ἐν τῷ Περὶ ἀντωνυμιῶν (Ap. Dysc. pron. 86.10) δηλοῦται. καὶ τάχα ἐπεὶ οὐδὲν δυϊκὸν εἰς -ω λῆγον περισπᾶται· οὕτως γὰρ ἔχει καὶ τὸ σφώ, τασσόμενον καὶ ἐπ' εὐθείας καὶ ἐπ' αἰτιατικῆς. καὶ παρ' αὐτῷ «σφὼ δὲ μάλ' ἠθέλετον» (Λ 782), «Ζεὺς σφὼ ε⟨ἰ⟩ς Ἴδην» (Ο 146), vid. et locos ab Erbse allatos; Hrd. ap. sch. Ο 146b {ζεὺς} σφώ: τῆς σφῶϊ ἀποκοπή...(aliter Hrd. ap. sch. Α 574a, sed textum suspectum habeo; Lentz p. 475 scholium ita rescribit: σφώ: ⟨οὐ⟩ πρωτόθετον αὐτήν φησιν Ἡρωδιανός. δυϊκὸν (οὐκ codd.) ἀπὸ τῆς σφῶϊ: διὸ ὀξύνεται· τὸ γὰρ ω τῶν δυϊκῶν ἀπέστραπται τὴν περισπωμένην); Ap. Dysc. pron. 85.12 Αἱ δυϊκαὶ κατὰ πρῶτον καὶ δεύτερον πρόσωπον ... Εὐθείας μὲν καὶ αἰτιατικῆς κοινῶς, νῶι, σφῶι· Ἀττικαὶ δὲ τῶν αὐτῶν πτώσεων νώ καὶ σφώ, αἷς καὶ ὁ ποιητὴς προσχρῆται, «νὼ ἀναβησάμενοι» (ο 475), «σφὼ δὲ μάλ' ἠθέλετον» (Λ 782) ... μονοσυλλάβως Εὔπολις Μαρικᾷ (fr. 201 K.–A.)· «νὼ γάρ, ἄνδρες, οὐχ ἱππεύομεν», καὶ ἔτι ἐν Φίλοις «εὐφρανῶ δὲ νῶ» (fr. 290 K.–A.) ... (86.10) Αἱ Ἀττικαὶ κατὰ τὴν εὐθεῖαν ὀξυτόνως ἀνεγνώσθησαν παρὰ τῷ ποιητῇ καὶ ἅπασι τραγικοῖς τε καὶ κωμικοῖς, αἵ τε γραφαὶ οὐκ ἔχουσι τὸ ι προσκείμενον, οἰκεία τε πτωτικῷ ⟨τῷ⟩ διὰ τοῦ ω ἡ ὀξεῖα τάσις. «καὶ διὰ τοῦτο ἐπαινετέα,» φασίν, «ᾗ καὶ ἡ γραφὴ ἀνάλογος καὶ ὁ τόνος, ⟨ἡ⟩ «πρίν γ' ἐπὶ νὼ τῷδ' ἀνδρί» (Ε 219); Eust. Il. I 236.1 Ἰστέον δὲ ὡς Ὁμήρου εἰπόντος ἐνταῦθα «εἰ δὴ σφώ», ἤγουν εἴπερ ὑμεῖς, «θνητῶν ἕνεκα ἐριδαίνετον», φασὶν οἱ τεχνικοί, ὅτι τε τὸ νώ καὶ σφώ ἀπὸ τοῦ νῶϊ, σφῶϊ γεγόνασιν ἀποβολῇ τοῦ ι καὶ ὅτι οὐ περισπῶνται διὰ τὴν ἀποκοπὴν κατὰ τὸ ἱδρῶτα ἱδρῶ, δῶμα δῶ, ἀλλ' ὀξύνονται ἀναλόγως ὡς δυϊκά; de νώ, σφώ apud Atticos vid. Ori ἀττ. Β 108 cum test. **4–100,1** καίτοι...χυκεῶ] cf. § **53**

1 Αἱ...δευτέρου A (cf. e.g. § **109** init. Αἱ τοῦ τρίτου προσώπου et § **116** αἱ μὲν τοῦ τρίτου δυϊκαί): αἱ δυϊκαὶ πρῶται καὶ δεύτεραι V | προσώπου Bloch praef. x: καὶ τρίτου, quas voces lineola traducta delevit A: καὶ τρίται V **2** προπερισπῶνται scripsi coll. § **107** οὐκ ἔτι περισπωμένως paulo inferius: βαρύνονται AV | κατ' εὐθεῖαν addidi (coll. e.g. § **112** κατ' εὐθεῖαν μὲν καὶ αἰτιατικήν) spat. vac. codicum AV explens **2–3** αἰτιατικήν scripsi: αἰτιατ[ικ] AV **3** μονοσυλλάβως V: μονοσυλλ[α] A **4** νώ σφώ A: spat. vac. in V | περισπωμένως A: περισπωμένας, haud male, V

ἀποκοπῆς ὀφειλούσας περισπᾶσθαι, ὡς τὸ *Ποσειδῶ*, *κυκεῶ*. ἀλλ' οὐδὲν δυϊκῶν εὐθείας πτώσεως ⟨καὶ αἰτιατικῆς εἰς -ω λῆγον⟩ περισπᾶται· ὅθεν ὠξύνθησαν μετὰ τὴν ἀποκοπήν.

108. Αἱ δὲ τούτων γενικαὶ ⟨καὶ δοτικαὶ κοιναί⟩, *νῶϊν*, *σφῶϊν*, προπερισπῶνται. ταύτας δὲ κατὰ συναίρεσιν Ἀττικοὶ προφέρονται 5 μονοσυλλάβως, τοῦ -ι- γραφομένου μὴ συνεκφωνουμένου· ὧν καὶ ἡ περισπωμένη φυλάττεται μετὰ τὴν συναίρεσιν, οἷον *νῶιν*, *σφῶιν*.

109. Αἱ τοῦ τρίτου προσώπου ὀξύνονται πᾶσαι καὶ ἐγκλίνονται πᾶσαι. αἰτιατικῆς μὲν *σφωέ*· «τίς τ' ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε

1–3 ἀλλ'…περισπᾶται] cf. § **62** **4–7** Αἱ…σφῶιν] Ap. Dysc. pron. 85.12 Αἱ δυϊκαὶ κατὰ πρῶτον καὶ δεύτερον πρόσωπον ... γενικῆς καὶ δοτικῆς νῶιν ⟨καὶ⟩ σφῶιν...τοιοῦτο δ' ἦν τὸ «οὐ γὰρ σφῷν τε γένος ἀπόλωλε τοκήων» (δ 62), ὅπερ ἐδόκει ἐπίμεμπτον εἶναι, ὡς τρίτον πληθυντικὸν δίχα τοῦ ι γραφόμενον, τοῦ λόγου ἀπαιτοῦντος δεύτερον· πρὸς γὰρ αὐτοὺς ὑπὲρ αὐτῶν· «ἀλλ' ἀνδρῶν γένος ἐστέ» (δ 63). ἡ πρόσθεσις οὖν τοῦ ι, ποιοῦσα τὸ Ἀττικόν, καὶ εἰς ἀκρίβειαν τὸν λόγον καθιστάνει. καὶ ἦν ἱκανὴ ἀπόδειξις τοῦ εἶναι αὐτὴν γενικὴν δευτέρου Ἀττικὴν τὸ καὶ ταῖς εὐθείαις συνεχέστερον αὐτὸν κεχρῆσθαι. πρὸς οἷς ἀκριβὴς πάντοτε περὶ τὰς ἀντωνυμίας ἐστίν; sch. δ 62d1 οὐ γὰρ σφῷν γε γένος: σὺν τῷ ι γραπτέον, ἵν' ᾖ «σφῶϊν» δυϊκῶς· οὐ γὰρ ἀφανῶν ἐστε γονέων; Eust. Od. I 145.46 Ἰστέον δὲ ὅτι ἐν τῷ οὐ γὰρ σφῷν γε, βούλονται οἱ παλαιοὶ σὺν τῷ ἰῶτα γράφειν τὸ σφῷν, ἵνα δηλοῖ τὸ σφῶϊν δυϊκόν; de νῶιν, σφῶιν ap. Atticos vid. etiam Ori ἀττ. B 108 cum test. **8–101,8** Αἱ…ἵππους] cf. Hrd. ap. sch. **Θ** 402b σφωϊν: ἐγκλιτικὴ νῦν ἐστιν ἡ ἀντωνυμία· τρίτου γὰρ προσώπου, τὰ δὲ τρίτα δυϊκά, τό τε σφωέ καὶ σφωΐν, ἐγκλιτικά ἐστι⟨ν⟩. ὅτε μέντοι δευτέρου γίνεται τὸ σφωϊν, προπερισπᾶται· ὀρθοτονεῖται γὰρ τὸ «γυιώσειν μὲν σφῶϊν» (Θ 416), vid. et locos ab Erbse ibi allatos; Hrd. et Arist. ap. sch. **K** 546b[1] ἦ τίς σφωε πόρεν: τὸ ῥῆμα ἀπὸ τοῦ π ἄρχεται, καὶ ἡ σφωέ τρίτου προσώπου ἐγκλιτική ἐστι, σημαίνουσα τὸ αὐτούς· «τίς τάρ σφωε θεῶν» (A 8), «ἀλλά σφωε δόλος καὶ δεσμός» (θ 317)· ὥστε οὐκ οἶδεν ὁ ποιητὴς οὐδὲ μονοσύλλαβον τὴν σφώ, εἰ μή ποτε ὀρθοτονεῖται καὶ δευτέρου προσώπου ἐστὶ καὶ σημαίνει τὸ ὑμεῖς ἢ ὑμᾶς· «σφὼ δὲ μάλ' ἠθέλετον» (Λ 782) ... | ἡ διπλῆ δέ, ὅτι Ζηνόδοτος γράφει «σφωϊ». τοῦτο δὲ τίθεται ἀντὶ τοῦ ὑμεῖς ἢ ὑμᾶς, ὧν οὐδέτερον ἁρμόζει, τὸ δὲ σφωέ· ἔστι γὰρ αὐτοὺς τοὺς δύο; Ap. Dysc. pron. 88.18; de genetivo dativoque enclitico σφωΐν vid. etiam Hrd. ap. sch. δ 28a ἀλλ' εἴπ' εἴ σφωϊν: ἐγκλιτέον τὴν «σφωϊν», ἵνα τρίτον γένηται πρόσωπον, vid. et testim. a Pontani allata; Ap. Dysc. pron. 91.8, 111.5

2 καὶ…λῆγον addidi praeeuntibus Bloch praef. x (καὶ αἰτιατικῆς) et Lentz 475.7 (εἰς -ω): spat.vac. in AV **3** ὠξύνθησαν V: ὀξύνθησαν A **4** καὶ…κοιναί addidi: spat. vac. in V, nullum in A | νῶϊν A: om. V **5** προπερισπῶνται A[p.c.]: περισπῶνται A[a.c.]V | προφέρονται A: προφέρουσι V **7** φυλάττεται scripsi coll. §§ **15, 16, 56, 59** etc : τάττεται suo Marte V: spat. vac. in A: μένει Bloch praef. x

μάχεσθαι;» (Α 8) εὐθεῖα δὲ τούτου δυϊκὴ οὐκ ἔστι, διότι οὐδὲ μία ⟨εὐθεῖα πρωτοτύπου⟩ ἀντωνυμίας ἐγκλίνεται. γενικῆς δὲ καὶ δοτικῆς *σφωΐν*· «καί σφωϊν δὸς ἄγειν» (Α 338). τόνῳ μὲν γὰρ μόνῳ τῆς τοῦ δευτέρου διήνεγκεν. ὥστε, ὅτε μὲν περὶ Ἀθηνᾶς καὶ Ἥρας Ζεὺς πρὸς
5 τὴν ˀΙρίν φησιν, ἐγκλιτικῶς ἀναγινώσκομεν· «γυιώσω μέν σφωϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους» (Θ 402)· τρίτου γὰρ προσώπου. ὅτε πρὸς αὐτὰς ἡ ˀΙρις, ὀρθοτο⟨νοῦμεν⟩ προπερισπῶντες· «γυιώσειν μὲν σφῶϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους» (Θ 416).

110. Πληθυντικὴ ἀντωνυμία ἀπαθής, μὴ κατὰ διάλεκτον ἐκφερο-
10 μένη ἀλλὰ κοινῶς καὶ Ἀττικῶς, περισπᾶται· *ἡμεῖς*, *ὑμεῖς*, *ἡμῶν*, *ὑμῶν*, *σφῶν*, *ἡμᾶς*, *ὑμᾶς*, *⟨σφᾶς⟩*, *ἡμῖν*, *ὑμῖν*. σημειώδης κἀνταῦθα ἡ τοῦ τρίτου *σφίν* καὶ βραχυνομένη καὶ ὀξυνομένη, δέον ἀκολούθως ταῖς τοῦ πρώτου καὶ δευτέρου καὶ ἐκτείνεσθαι καὶ περισπᾶσθαι. ⟨ἀλλ'⟩ ὥσπερ ἐν ἑνικοῖς ἡ *οἷ* παραλόγως περιε-
15 σπάσθη, οὕτως καὶ ἐκ τοῦ ἐναντίου ἡ *σφίν* ⟨παραλόγως⟩ συσταλεῖσα

12–102,2 σημειώδης … βαρύνεται] de σφίν: Ap. Dysc. pron. 98.7 Εἰ ὁμόχρονοι αἱ κατὰ τὸ πρῶτον καὶ δεύτερον (scil. ἡμῖν, ὑμῖν), σαφὲς ὅτι ἡ σφίν συστελλομένη ὁμολογεῖται ἀπ' Ἰακῆς ἐγκλίσεως, εἴγε, ὅτε ἐγκλίνουσιν οἱ Ἴωνες, συστέλλουσι τὸ ι, ἡ δὲ μόνως ἐστὶν ἐγκλιτική; de σφίσιν: Ap. Dysc. pron. 98.12 Σφίσιν. Αὕτη ἐπεκταθεῖσα καὶ ὀρθοῦ τόνου ἔτυχεν; 'de tonosi (scil. σφίσιν pronominis primitivi) alia praecipit sch. Δ 2c' Schneider ad loc.

9 πᾶσαι A: om. V | σφωέ] malim ἡ σφωέ | τ' ἄρ V: τάρ A **9–101,1** ξυνέηκε μάχεσθαι A: om. V
1 εὐθεῖα A: εὐθεία V | δὲ scripsi: γὰρ AV **2** εὐθεῖα πρωτοτύπου addidi spat. vac. in AV explens **3** σφωΐν A: σφῶϊν V; malim ἡ σφωΐν | τόνῳ μὲν A: om. V spat. vac. relicto **4** Ἥρας A: om. V spat. vac. relicto | Ζεὺς A: ὁ Ζεὺς V **5** ˀΙρίν Dindorf: Ἶριν V: Ἴρην A | μέν A[s.l.]: om. V | σφωϊν A: σφῶν V **6** post ὅτε add. δὲ Bloch, haud male **7** ἡ ˀΙρις Dindorf praef. x: ἡ Ἴρις A: ὁ Ἄρης V; scil. ἡ ˀΙρίς φησιν | ὀρθοτονοῦμεν] partem -νοῦμεν addidi: om. AV spat. vac. relicto προπερισπῶντες V: προπερισπῶνται A | γυιώσειν A: γυιώσει V | μὲν σφῶϊν A: μέν σφωιν V **8** ἅρμασιν V: ἅρμασι A **10** καὶ Ἀττικῶς A: om. V spat. vac. relicto **11** ἡμῶν ὑμῶν ordine inverso V | σφᾶς addidi | ἡμῖν ὑμῖν ord. inv. V **12–13** ὀξυνομένη A: ἐκτεινομένη V **14** ἀλλ' Egenolff[2] 242 quasi e V: spat. vac. in AV | ὥσπερ A: om. V spat. vac. relicto **15** καὶ V: om. A | παραλόγως exempli gratia addidi spat. vac. in AV explens | συσταλεῖσα Bloch praef. x: συσταλεῖσαν AV

ὠξύνθη· ὥστε ἀμοιβὴ τῶν τόνων ἐν αὐταῖς γέγονεν. ἐκτείνεται δὲ ἡ *σφίν* ἐν τῇ *σφίσιν*, καὶ δισυλλαβήσασα βαρύνεται.

111. ⟨Αἱ καλ⟩ούμεναι μονοπρόσωποι ὑπὲρ μίαν συλλαβὴν οὖσαι, μὴ ἐκτεταμέναι διὰ τοῦ -ι, βαρύνονται, χωρὶς τῆς *αὐτός*· αὕτη γὰρ μόνη ὀξύνεται. αἱ δὲ βαρύνονται· ⟨*οὗτος*, *ἐκεῖνος*,⟩ *ὅδε*. κλίσιν δὲ εἴς τε τὰς πτώσεις καὶ εἰς τὰ γένη καὶ εἰς τοὺς ἀριθμοὺς ⟨αὗται⟩ κατὰ τὴν ὀνομάτων ἔχουσιν ἀναλογίαν τῶν οὕτως παρηγμένων, λέγω δὲ τὸ *τόσος*, *τοσοῦτος*, *τοσόσδε*, *τόση*, *τοσαύτη*, *τοσῆδε*, *τόσον*, *τοσοῦτον*, *τοσόνδε*. αἱ διὰ τοῦ -ι ἐπεκτεταμέναι ⟨ὀξύνονται⟩· *οὑτοσί*, *ἐκεινοσί*, *ὁδί*.

112. Αἱ μονοσύλλαβοι κατ' εὐθεῖαν μὲν καὶ αἰτιατικὴν ὀξύνονται· *ὅς*, *ἕ*, *μίν*. κατὰ δὲ γενικὴν καὶ δοτικὴν περισπῶνται· *οὗ*, *οἷ*.

113. Αἱ δὲ σύνθετοι τῶν ἀντωνυμιῶν τὸν αὐτὸν ταῖς ἁπλαῖς τόνον φυλάττουσιν· *ἐμοῦ αὐτοῦ* = *ἐμαυτοῦ*, *ἐμοὶ αὐτῷ* = *ἐμαυτῷ*, *ἐμὲ αὐτόν* = *ἐμαυτόν*. ὁμοίως ἐπὶ δευτέρου καὶ τρίτου. καὶ ἐπὶ θηλυκῶν ὁμοίως. αἱ γὰρ οὐδέτεραι κατὰ γενικὴν καὶ

4–5 αὕτη...βαρύνονται] Ap. Dysc. pron. 64.1, 64.13 **9–10** αἱ...ὁδί] Ap. Dysc. pron. 59.17 Δεικτικώτεραι γινόμεναι προσλαμβάνουσι τὸ ι, οὑτοσί, ὁδί, ἐκεινοσί. ... οἰκεία ἡ κατὰ τὸ τέλος ὀξεῖα ἐπὶ τούτων, εἴγε τὰ δεικτικώτερα μᾶλλον τοῖς τέλεσι τὴν ὀξεῖαν προσνέμει; ibid. 34.4; 62.1; id. synt. 136.11

1 ἀμοιβὴ Dindorf: ἀμοιβῇ AV **1–2** ἐκτείνεται...βαρύνεται hoc ordine verba scripsi: βαρύνεται ... ἐκτείνεται A: γίνεται (suo Marte)... ἐκτείνεται V: βαρύνεται ... ⟨ἐπ⟩εκτείνεται Lentz 476.7, sed ἐκτείνω de productione *vocabuli* ponitur et in § **111** ἐκτεταμέναι διὰ τοῦ -ι et ab Hrd. ap. sch. **Θ** 109c, l. 22 (significatio lexicis DGE et LSJ addenda); cf. etiam DGE s.v. ἔκτασις B.II.2 **3** Αἱ καλούμεναι restitui coll. § **105** τῶν καλουμένων μονοπροσώπων: tantum ούμεναι V, υμεναι **A**, spat. vac. in utroque codice praecedente **4** ἐκτεταμέναι] ἐπεκταταμέναι Lentz 477.1 (cf. αἱ διὰ τοῦ -ι ἐπεκτεταμέναι paulo inferius), sed vid. app. crit. paulo superius | διὰ τοῦ A: om. V spat. vac. relicto **5** οὗτος ἐκεῖνος add. Lentz 477.3: spat. vac. hiant AV **6** αὗται add. Lentz 477.4: spat. vac. in AV **8** τὸ τόσος A: om. V spat. vac. relicto | τοσόσδε paroxytonum Lentz 477.6 (coll. § **160** τὰ γὰρ ⟨κατὰ⟩ φωνὴν παραχθέντα εἰς -δε μηδὲν πλέον τοῦ πρωτοτύπου σημαίνοντα πρὸ μιᾶς ἔχει τὸν τόνον· *τοσόσδε*, *τηλικόσδε*): proparoxytonum τόσοσδε AV τοσῆδε Lentz l.c.: τόσηδε AV; de τοσῆδε pro τοσήδε ap. Herodianum cf. e.g. Hrd. ap. sch. **Θ** 109c ... ἀληθὲς γὰρ ὡς ὅτι τὰ διὰ τοῦ δε ἐκτεταμένα, εἰ ἔχοι πρὸ τέλους φύσει μακράν, προπερισπᾶται... **9** τοσόνδε Lentz l.c.: τόσονδε A: om. V spat. vac. relicto | ἐπεκτεταμέναι V: ἐπεκταμέναι **A** **9–10** ὀξύνονται add. Lentz 477.7 **11** εὐθεῖαν A: εὐθείαν V **15** ἐμὲ Dindorf: ἐμὸν AV | ἐπὶ A: καὶ ἐπὶ V

δοτικὴν τῷ ἀρσενικῷ ὁμοφωνοῦσιν. ἡ δὲ αἰτιατικὴ τῶν οὐδετέρων ἐκλέλοιπεν· ἐπεὶ ὁμόφωνοι μὲν ἐν οὐδετέροις ἡ εὐθεῖα καὶ ἡ αἰτιατική, οὐδέποτε ⟨δὲ⟩ εὐθείας ἀντωνυμία συντίθεται, ἔνθεν συνεκλείπει τῇ εὐθείᾳ ἡ αἰτιατική. εἰ δὲ ἅπαξ που παρ' Εὐριπίδῃ (fr. 693.1–2
5 Kannich) εὕρηται τὸ *σεαυτό*, «εἶα δὴ ξύλον, / ἐγεῖρέ μοι σεαυτό», καὶ παρὰ Φιλήμονι (fr. 193 K.–A.) τὸ *σαυτό*, ἀλλ' οὐ τὸ σπάνιον τοῦ ὅλου καθέστηκε κανών.

1–7 ἡ…κανών] Ap. Dysc. pron. 73.9 ὑπολείπεται οὖν σημειούμενον τὸ αὐτό (καί, εἰ ἕν ἐστι, τὸ εἰσό). ἀλλ' εἰ καὶ τοῦτο ἁπλοῦν ἔστιν, οὐ πάντως καὶ τὸ ἐξ αὐτοῦ σύνθετον, λέγω δὲ τὸ ἐμαυτό· ὑπὸ γὰρ ἀκριβεστέρου λόγου ἐμποδίζεται. εἴ τι γὰρ οὐδέτερόν ἐστιν αἰτιατικῆς πτώσεως, τοῦτο καὶ εὐθείας ἐστίν· ἀλλ' ἀδύνατον τὸ τῆς εὐθείας συνίστασθαι· εὐλόγως ἄρα καὶ τὸ τῆς αἰτιατικῆς σχῆμα ἐσιγήθη. ἀλλ' εἰ ἅπαξ Εὐριπίδης ἐχρήσατο ἐπὶ δευτέρου προσώπου ἐν τῷ «ἔγειρέ μοι σεαυτὸ καὶ γίγνου θρασύ» (fr. 693.2 Kannicht), τοῦτο οὐ κανὼν γενήσεται τοῦ εὐλόγως σιγηθέντος σχήματος; nominativo cur pronomina composita careant explicat Ap. Dysc. pron. 69.18 **6–7** οὐ…κανών] vid. locos quos cum nostro composuit Egenolff[2] 243

2 ἡ[2] A: om. V **3** δὲ add. Lentz 478.4 prob. Egenolff[2] 243 | εὐθείας ἀντωνυμία] εὐθεῖα ἀντωνυμίας Lentz 478.4 praeter necessitatem; cf. e.g. § **109** αἰτιατικῆς μὲν *σφωέ* **4** Εὐριπίδῃ A: Εὐριπίδι V **5** ἐγεῖρέ Bekker (ap. Ap. Dysc. pron. 73.16 Schneider): ἐγεῖραι AV **6** Φιλήμονι Dindorf: Φιλήμωνι AV | τὸ σαυτό Meineke ad Philem. fab. inc. fr. cxxb (FCG vol. IV p. 65), prob. Xenis–Dickey: τὸ αὐτό AV: τὸ *ἐμαυτό* etiam temptaverunt Xenis–Dickey | οὐ τὸ Dindorf: οὗτο A: οὗ τὸ V **7** καθέστηκε κανών Kassel et Austin ad Philem. fr. 193: καθέστηκε κανόνες A: καθέστηκαν οἱ κανόνες V

114. Ἡ *ὁ δεῖν* περισπᾶται, κλίνεται δὲ *τοῦ δεῖνος, τῷ δεῖνι, τὸν δεῖνα.* ἡ *ὁ δεῖνα* προπερισπᾶται, κλίνεται δὲ *τοῦ δείνατος, τῷ δείνατι.* εἰσὶ δὲ κοιναὶ τῶν τριῶν γενῶν.

115. Αἱ κτητικαὶ τῶν ἀντωνυμιῶν ὀνομάτων ἔχουσαι χαρακτῆρα καὶ τὴν τῶν ὀνομάτων ἀναλογίαν ἔχουσιν. ἡ μὲν οὖν τῶν ἑνικῶν 5 εὐθειῶν ὀξύνεται, ἀπὸ τῆς *ἐμοῦ ὁ ἐμός*, καὶ κατ' ἀκολουθίαν ταύτης καὶ ἡ αἰτιατικὴ *ἐμόν*· ἡ δὲ γενικὴ καὶ δοτικὴ περισπᾶται· *ἐμοῦ, ἐμῷ.* οἱ δὲ ἀριθμοὶ καὶ τὰ ⟨πρόσωπα καὶ τὰ⟩ γένη ἀκολούθως τονοῦνται, ὡς καὶ τὰ εἰς *-ος* ὀνόματα.

1–3 Ἡ…γενῶν] de forma pronominis Attica et Syracusana: Ap. Dysc. pron. 59.21 ⟨Ἡ⟩ ὁ δεῖνα παρ' Ἀττικοῖς πολλάκις [καὶ] ἐπὶ τοῦ τυχόντος λαμβανομένη, παρὰ δὲ Συρακουσίοις δίχα τοῦ α, «οὐχ ὁ δεῖν (οδιν cod.) τυ ἐπικαζε» Σώφρων ἀνδρείοις (fr. 58 K.–A.); de eius declinatione: Ap. Dysc. pron. 60.10 «Πᾶν πτωτικὸν ἢ κατὰ τὸ τέλος τὴν κλίσιν ποιεῖται, ἢ πρὸ τέλους, ὅτε ἐπεκτέταται, ὡς ἐν τῷ τοιοῦδε, τοιῷδε· πῶς οὖν τοῦ δεῖνος καὶ ἔτι τοῦ δείνατος, καὶ τῷ δεῖνι καὶ τῷ δείνατι, δύο κλίσεις ἀνεδέξατο; πῶς δὲ καὶ δύο τόνους, πάσης λέξεως μίαν ὀξεῖαν ἐχούσης ἢ περισπωμένην;»—Πολλάκις καὶ ἐπ' ὀνομάτων καθ' ἑνὸς ὑποκειμένου δύο κλίσεις γίνονται, Νέα πόλις Νέας πόλεως, ἀγαθὸς δαίμων ἀγαθοῦ δαίμονος· οἷς ἐξ ἀνάγκης παρέπεται καὶ τὸ διτονεῖν, ὅτι καὶ δύο κλίσεις. οὐ πιθανὸν οὖν καὶ τουδεῖνος ὡς σωλῆνος προφέρεσθαι, ὥς φησι Τρύφων (p. 31 Velsen), «ἵνα μὴ διτονήσῃ ἡ λέξις,» δύο κλίσεων γινομένων **6** ἀπὸ…ἐμός] pronomina possessiva a genetivis pronominum personalium derivantur: Ap. Dysc. pron. 102.5 Αἱ κτητικαὶ ἀπὸ γενικῶν μόνων σχηματιζόμεναι, κτῆσιν σημαινουσῶν, καὶ εἰς γενικήν, ὡς προείρηται, ἀναλύονται κτῆσιν σημαίνουσαν (de coniectura σημαίνουσαν pro codicis scriptura σημαίνουσαι vid. Schneider ad 102.6 = Gr.Gr. II.I.2 p. 126; σημαίνουσαν recepit et Brandenburg) καὶ αἱ μὲν ἀπὸ πρώτου ἑνικοῦ πρώτου ἂν ῥηθεῖεν, ἑνικαί τε κατὰ τὸν κτήτορα, οἷον ἐμοῦ ἐμός. ὁμοίως αἱ ἀπὸ ⟨τοῦ⟩ δευτέρου, σοῦ σός, καὶ ἔτι αἱ ἀπὸ τρίτου, οὗ ὅς; id. synt. 258.1

1 ὁ δεῖν distinxit Dindorf: ὀδεῖν V: ὀδεῖνα A **2** ὁ δεῖνα distinxit Dindorf: ὀδεῖνα A: ὀδεῖνα V | προπερισπᾶται A: περισπᾶται V **3** τριῶν γενῶν A: τριγενῶν V **6** τῆς A: τοῦ V | κατ' A: κατὰ V **7** ἐμόν Lentz 478.17: ἐμέ AV **8** πρόσωπα… τὰ[2] addidi

116. Αἱ διὰ τοῦ *-τερος*, αἵτινές εἰσι δυϊκαὶ ἢ καὶ πληθυντικαί, πᾶσαι τρίτην ἀπὸ τέλους ἔχουσι τὴν ὀξεῖαν. δυϊκαὶ μὲν ἀπὸ τῆς *νῶϊν νωΐτερος* καὶ ἀπὸ τῆς *σφῶϊν σφωΐτερος*. ἀπὸ γὰρ τῆς τοῦ τρίτου δυϊκῆς οὐ γίνεται κτητικὴ παραγωγή, διότι αἱ μὲν τοῦ
5 τρίτου δυϊκαὶ πᾶσαι ἐγκλίνονται, ἀπὸ δὲ ἐγκλινομένων οὐ γίνεται κτητικὴ ἀντωνυμία. πληθυντικαὶ δὲ ἀπὸ μὲν τῆς *ἡμῶν ἡμέτερος* καὶ ἀπὸ τῆς *ὑμῶν ὑμέτερος* καὶ ἀπὸ τῆς *σφῶν σφέτερος*.

1–2 Αἱ … ὀξεῖαν] quae exempla ap. Catholicam legerit Theognostus discas ex canone eius 930, p. 154.17 Αἱ διὰ τοῦ -τερος ἀντωνυμίαι κτητικαὶ διὰ τοῦ ε ψιλοῦ γράφονται καὶ τὴν τρίτην ἀπὸ τέλους ἔχουσιν διὰ τοῦ ε ψιλοῦ ἢ διὰ τοῦ ι ἐκφερομένην, καὶ τὴν ὑπὲρ αὐτὴν φύσει μακράν, οἷον νωΐτερος, σφωΐτερος, ἡμέτερος, ὑμέτερος, τὸ σφέτερος τὴν τρίτην ἀπὸ τέλους ἔχον διὰ τοῦ ε, τὸ ἑξῆς τοῦ κανόνος ἐξέκλινεν, ὅτι μὴ ὑπὲρ τρεῖς συλλαβὰς ἡ λέξις (cf. et canonem 387, p. 70.24); non diversus sed generalior canon Herodianeus ap. sch. A 280b servatus: τὰ εἰς -τερος τρισύλλαβα βαρύνεται, οἷον σφέτερος, «πρότερος» (Α 548 al.), κύντερος (cf. etiam Hrd. Cath. Pros. ap. Ep. Hom. κ 6, ll. 52–4, 58–63; vid. et quae ex Et. Gen. Dyck ibi attulit) **2–7** δυϊκαὶ … σφέτερος] pronomina possessiva a genetivis pronominum personalium descendunt: Ap. Dysc. pron. 102.5 Αἱ κτητικαὶ ἀπὸ γενικῶν μόνων σχηματιζόμεναι, κτῆσιν σημαινουσῶν, καὶ εἰς γενικήν, ὡς προείρηται, ἀναλύονται κτῆσιν σημαίνουσαν (de σημαίνουσαν pro codicis σημαίνουσαι dixi superius) ... καὶ ἐπὶ δυϊκῶν ταὐτόν, νῶιν νωίτερος, σφῶιν σφωίτερος. τούτων τὸ τρίτον ὑπεστάλη διὰ τὸ μόνως ἐγκλίνεσθαι, ὅπερ ἡ παραγωγὴ οὐ παραδέχεται· προείρηται δὲ καὶ ἐν τοῖς ἐπάνω (scil. ibid. 92.4). καὶ ἐπὶ πληθυντικῶν, ἡμῶν ἡμέτερος, ὑμῶν ὑμέτερος, σφῶν σφέτερος.

3 νῶϊν scripsi (cf. *ἀπὸ τῆς ἐμοῦ ὁ ἐμός*; *ἀπὸ μὲν τῆς ἡμῶν ἡμέτερος* etc; Ap. Dysc. pron. 87.9 ἐπεὶ δὲ παρ᾽ Ἀττικοῖς ἔστι νωίτερος καὶ σφωίτερος, εὐθέως καὶ κατὰ τὴν εὐθεῖαν τὸ ι προσγεγράψεται· ἀπὸ γὰρ γενικῶν αἱ κτητικαί, αἵτινες σὺν τῷ ι γράφονται): νῶϊ A: νωΐ V | σφῶϊν A: σφωΐν V; post σφῶϊν/σφωΐν exhibent ὀξυνομένως AV, quam vocem lineola traducta del. A **7** καὶ ἀπὸ[1] A: ἀπὸ δὲ V (hoc commendat Egenolff[2] 243)

117. Ἀπὸ δὲ τῆς *ἡμῶν* καὶ *ὑμῶν* ἐγένετο ἐθνικὴ παραγωγὴ *ἡμεδαπός* καὶ *ὑμεδαπός*, αἵτινες ὠξύνθησαν τῷ χαρακτῆρι τῶν ὁμοίων τοῦ *ἀλλοδαπός* καὶ *παντοδαπός* καὶ *τηλεδαπός*.

1–2 Ἀπὸ ... ὑμεδαπός] ἡμεδαπός, ὑμεδαπός nomina gentilicia a pronominibus derivata: Ap. Dysc. pron. 31.13–32.21; id. synt. 30.5; ibid. 254.14–261.7; Ep. Hom. τ 59; vid. etiam quae annotat Lentz ad 478.27 'ex hoc Catholicae loco (scil. loco nostro) apparet Herodianum idem sensisse de ἡμεδαπός reliquis atque Apollonium...: haec vocabula non esse composita, sed simplicia mera paragoge aucta. Quare falsum est, quod in Schol. ad Il. **Ω** 657b Herodiano impingitur eum ποδαπός ex ποῖος et δάπεδον compositum habuisse ...'

2 post ὠξύνθησαν add. ἀκολούθως Bloch, at cf. § **39** τῷ χαρακτῆρι περιεσπάσθη

Περὶ προθέσεων (**118–130**)

118. Πᾶσα πρόθεσις ὀξύνεται· *ἕν, εἴς, ἔξ, ἀνά, κατά* καὶ τὰ λοιπά. ὅθεν καὶ ἡ *ἀπό* καὶ *ὑπό* μηδεμιᾶς ληγούσης λέξεως εἰς *-ο*

0 προθέσεων] Herodianus de accentu praepositionum in libro XVIII egerat, (cf. Arc. 4.18) sed de earum anastropha in Appendice (cf. Arc. 5.13); Ioh. Alex. tamen has diversas Catholicae partes in uno eodemque loco conglutinavit (vid. Xenis[2]) **1** Πᾶσα…ὀξύνεται] cf. Tyrann. fr. 3 (=Ep. Hom. α 294, cuius textum sequor) Ἀτάρ ... Τυραννίων δὲ ἄταρ ἀναγινώσκει, ἐπεὶ οὐδὲν εἰς -ρ λῆγον ὑπὲρ μίαν συλλαβὴν βραχυκατάληκτον ὀξύνεται ... ἀντέπιπτε μὲν ⟨ἂν⟩ ἡ ὑπέρ πρόθεσις, εἰ μὴ κατώρθωτο ⟨διὰ⟩ τὸ πᾶσαν ὀξύνεσθαι πρόθεσιν; Ap. Dysc. synt. 443.3 ... εἴγε ἁπάσαις (scil. ταῖς προθέσεσι) παρεπόμενόν ἐστιν τὸ ὀξύνεσθαι, τῶν ἄλλων μερῶν τοῦ λόγου ποικιλωτέρων ὄντων κατὰ τὰς τάσεις; ibid. 479.1 καθὸ τὰ εἰς -ο λήγοντα τῶν τοῦ λόγου μερῶν ἀπέστραπται τὴν ἐπὶ τέλους ὀξεῖαν, ὑπεξαιρούμενος τήν τε ἀπό πρόθεσιν καὶ τὴν ὑπό, καθὸ τούτων ἓν ἰδίωμά ἐστιν ἡ ἐπὶ τέλους ὀξεῖα. φαίνεται δ᾽ ὅτι καὶ ἡ τοῦ αὐτός οὐδετέρα ἀντωνυμία εἰς ο λήξασα εἶχε τὴν τόνου ὑποπαραίτησιν, καθὸ συνετονοῦτο τῇ ἀρσενικῇ τάσει; id. pron. 73.1 Τὸ ἄρχον μέρος αἱ σύνθετοι (scil. ἀντωνυμίαι) κινοῦσαι πρόσωπα παριστᾶσιν, ὁμοίως ταῖς ἁπλαῖς, τὸ δὲ τέλος, ὅτε γένος· ἐμαυτόν γὰρ καὶ ἐμαυτήν. ὅθεν ἐπιστατέον τῷ οὐδετέρῳ σχήματι κατ᾽ αἰτιατικὴν σιγηθέντι, ἐπεὶ ἴσως καὶ ἡ κατάληξις συνήγετο εἰς ο κατ᾽ ὀξὺν τόνον, (καθὸ αἱ οὐδέτεραι τῶν ἀντωνυμιῶν, χωρὶς τῶν κτητικῶν, εἰς -ο ἔληγον μετὰ τάσεως τῆς τοῦ ἀρσενικοῦ,) ὅπερ ἐν μέρει λόγου οὐκ ἐνὸν εὑρέσθαι (τῆς ἀπό καὶ ὑπό ὑφαιρουμένων, καθότι ἀδύνατον πρόθεσιν βαρύνεσθαι, χωρὶς εἰ μὴ ἀναστρέφοιτο· οὐδὲ γὰρ Αἰολεῖς τὸν ἐπὶ ταύταις τόνον ἀναβιβάζουσιν)· ὑπολείπεται οὖν σημειούμενον τὸ αὐτό (καί, εἰ ἕν ἐστι, τὸ εἰς ὅ)....; sch. D. Thr. (Hel.) 93.30 Καὶ τὸ ὀξυτονεῖσθαι αὐταῖς παρέπεται, εἰ μὴ ἀναστρέφοιντο· ἔνθεν ἡ ὑπέρ, ὀφείλουσα βαρύνεσθαι διὰ τὸν χαρακτῆρα, ἀλόγως ὠξύνθη· τὰ γὰρ εἰς -ρ βραχυκατάληκτα βαρύνονται, ἄνερ πάτερ· καὶ ἡ ἀπό καὶ ἡ ὑπό πάλιν παραλόγως ὠξυτονήθησαν· αἱ γὰρ εἰς -ο λήγουσαι λέξεις βαρύνονται, ἐκεῖνο ἄλλο τοῦτο, χωρὶς τῆς αὐτό, ἥτις οὕτως ἐτονώθη· καὶ ὀξύνονται διὰ τοῦτο δηλονότι, ἵνα εὔθετοι ὦσι πρὸς τὴν ἀναστροφήν· εἰ γὰρ ἐβαρύνοντο, πῶς ἔτι τὴν ἀναστροφὴν ἐποιοῦντο; δι᾽ ἣν καὶ οἱ Αἰολεῖς ὤξυνον αὐτάς, καὶ ταῦτα βαρυντικοὶ ὄντες; de ἀπό, ὑπό, αὐτό, ὑπέρ, αὐτάρ etiam Choer. I 313.11; id. Ep. Ps. 14.29; alibi; de ὑπέρ, αὐτάρ vid. etiam Choer. I 282.36 Ἰστέον δὲ ὅτι τὸ ἄνερ πάτερ σῶτερ δᾶερ συστείλαντα τὸ η εἰς τὸ ε ἐν τῇ κλητικῇ εὐλόγως ἐβαρύνθησαν· τὰ γὰρ εἰς -ρ λήγοντα βραχυκατάληκτα ὑπὲρ μίαν συλλαβὴν ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν χωρὶς τῆς ὑπέρ προθέσεως καὶ τοῦ ἀτάρ καὶ αὐτάρ συνδέσμου; fere eadem ibid. 390.4 et id. Ep. Ps. 8.27; Eust. Il. I 115.12

0 προθέσεων scripsi: προθέσεως AV **2** -ο A: om. V

ὀξυνομένης διὰ τὸ εἶναι προθέσεις ὠξύνθησαν (διὸ σημειούμεθα τὴν *αὐτό* ἀντωνυμίαν, ὅτι ὠξύνθη διὰ τὴν *αὐτός* ἀρσενικήν). ἔτι δὲ καὶ ἡ *ὑπέρ* πάλιν ὠξύνθη, καὶ ταῦτα ⟨μη⟩δεμιᾶς λέξεως εἰς -*ρ* ληγούσης μετὰ βραχείας [καὶ] ὀξυνομένης (καὶ διὰ τοῦτο καὶ τὸν *αὐτάρ* σύνδεσμον τῷ λόγῳ τῶν συμπλεκτικῶν πάλιν ὤξυναν, ἐπειδὴ πᾶς 5 σύνδεσμος συμπλεκτικὸς ὀξύνεται, χωρὶς τοῦ *ἤτοι*).

119. Ὅτι μὲν οὖν ὀξύνονται αἱ προθέσεις εἴπομεν. διὰ τί δὲ προθέσεις εἴρηνται; ἐκ τοῦ πάσης λέξεως ἐθέλειν προτίθεσθαι· λέγω δὲ ὀνομάτων, ῥημάτων, μετοχῶν, ἀντωνυμιῶν, ἄρθρων τῶν προτακτικῶν· *περὶ Ἀριστάρχου*, *καταγράφω*, *καταγράψας*, 10 *περὶ ἐμοῦ*, *περὶ τοῦ στεφάνου*.

120. Ἐὰν μεταξὺ πέσωσιν ὀνόματος καὶ ῥήματος ἢ μετοχῆς, πρὸς διάφορον σημασίαν ἢ ἀναστραφήσονται ἢ οὔ, οἷον «ΙΘΑΚΗΝΚΑΤΑΚΟΙΡΑΝΕΟΥΣΙΝ» (α 247)· εἰ μὲν πρὸς τὸ

3–4 μηδεμιᾶς…ὀξυνομένης] cf. § **57** Πᾶσα κλητικὴ εἰς -*ρ* μετὰ βραχείας βαρύνεται· *Ἕκτορ*, *Νέστορ*, *Μέντορ*. ἔνθεν τὸ *ἄνερ*, *σῶτερ*, *πάτερ*, *δᾶερ*, ἐβαρύνθησαν **5–6** πᾶς…ἤτοι] vid. § **200** **7–11** διὰ…στεφάνου] cf. D. Thr. 70.2 Πρόθεσίς ἐστι λέξις προτιθεμένη πάντων τῶν τοῦ λόγου μερῶν ἔν τε συνθέσει καὶ συντάξει; Ap. Dysc. synt. 436.11 τὰ προκείμενα μόρια (scil. praepositiones) διὰ τῆς ἐξαιρέτου συντάξεως, λέγω τῆς προθετικῆς, τὴν ὀνομασίαν ἀπηνέγκατο; sch. D. Thr. 91.20 (Heliodori); Choer. Ep. Ps. 12.34; 49.2; Mich. Sync. 957; alibi **14–109,4** ΙΘΑΚΗΝΚΑΤΑΚΟΙΡΑΝΕΟΥΣΙΝ… πρόθεσιν] cf. Hrd. Cath. Pros. ap. Mich. Sync. 1146 Ἔστι δ᾽ ὅτε καὶ αὗται αἱ δισύλλαβοι διχρονοῦσαι οὐκ ἀναστρέφονται· εἰ γὰρ μεταξὺ πέσοιεν ὀνόματος καὶ ῥήματος ἢ μετοχῆς πρὸς διάφορον σημασίαν ἀναστρέφονται ἢ οὐκ ἀναστρέφονται, οἷον· Ἰθάκην κάτα κοιρανέουσιν. Εἰ μὲν γὰρ τὴν κατά πρὸς τὴν Ἰθάκην συντάξειέ τις ἵνα δηλώσῃ τὴν τοπικὴν σχέσιν «κατὰ τὴν Ἰθάκην», ἀναστρέψει τὴν πρόθεσιν· εἰ δὲ πρὸς τὸ κοιρανέουσιν, ἵνα πλείονα δηλώσῃ ἔμφασιν τῆς τῶν μνηστήρων ἐπικρατείας, ὅπερ καὶ μᾶλλον δοκεῖ, ὀρθοτονήσει τὴν πρόθεσιν; Ap. Dysc. 441.3 τὸ γοῦν «Ἰθάκην κάτα κοιρανέουσι» {α 247} διὰ τοῦ ἀρκτικοῦ τόνου, λέγω τῆς ἀναστροφῆς, συσσημαίνει καὶ τὸ ἀναβιβαζόμενον τῆς προθέσεως, οὐχ οὕτως δὲ ἔχον σύνταξιν τὴν ἐπὶ τὸ ῥῆμα παραδέχεται. καὶ ἕνεκα τούτου εὐπαράδεκτος καὶ ἡ δισσὴ τάσις τῶν προθέσεων. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ «εὗρε δὲ Πατρόκλῳ πέρι κείμενον ὃν φίλον υἱόν» {Τ 4}; Hrd. ap. sch. E

1 ὀξυνομένης Dindorf: ὀξυνομένη AV **2** ὅτι A: ὅτε V **2–3** διὰ…ὠξύνθη A: om. V **2** ἔτι scripsi: ὅτι AV **3** *μηδεμιᾶς* Lentz 480.2: δὲ *μιᾶς* AV | -ρ scripsi: ε AV: ερ Dindorf **4** καὶ[1] eieci **5** ὤξυναν V: ὤξυνεν A **7** Ὅτι…εἴπομεν] de molesta hac ex superiore capitulo repetitione vid. Xenis[2] | ὀξύνονται A: ὠξύνονται V διὰ τί A: διατὶ V **13** ἀναστραφήσονται Dindorf: ἀντιστροφήσονται A: ἀντιστραφήσονται V

Ἰθάκην συντάττοις τὴν *κατά*, ἵνα τοπικὴν δηλώσῃς σχέσιν, *κατὰ Ἰθάκην*, ἀναστρέψεις τὴν πρόθεσιν· εἰ δὲ πρὸς τὸ *κοιρανέουσιν*, ἵνα ἔμφασιν πλείονα δηλώσῃς τῆς τῶν μνηστήρων ἐπικρατείας, ὅπερ καὶ μᾶλλον δοκεῖ, ὀρθοτονήσεις τὴν πρόθεσιν. τὸ αὐτὸ καὶ ἐν τῷ
5 «ΕΥΡΕΔΕΠΑΤΡΟΚΛΩΙΠΕΡΙΚΕΙΜΕΝΟΝ» (Τ 4)· εἰ γὰρ *περὶ τῷ Πατρόκλῳ*, καὶ ἀναστραφήσεται ὁ τόνος· ἢ *τῷ Πατρόκλῳ περικείμενον*, ἵνα ᾖ οἷον περικεχυμένον αὐτῷ· ἔμφασις γὰρ πλείων.

332a[1] ⟨πόλεμον⟩ κατακοιρανέουσιν: ὁ Ἀσκαλωνίτης (p. 46 B.) ἀναστρέφει, ἵνα γένηται κατὰ πόλεμον. δύναται δὲ ἔμφασις γενέσθαι, εἰ συνάπτοιτο τῷ κοιρανέουσιν ὡς «ἀνακοιρανέοντα» (cf. Ε 824). καὶ ἔστιν ὅμοιον τὸ «Ἰθάκην κατακοιρανέουσιν» (α 247); Hrd. ap. sch. Ε 283a[1]; a[2]; Β 312a ὑποπεπτηῶτες: δύναται καὶ ἀναστρέφεσθαι. πιθανώτερον δὲ συντάσσειν τῇ μετοχῇ τὴν πρόθεσιν διὰ τὴν ἔμφασιν; Hrd. ap. sch. Ρ 240b[1] νέκυος ΠΕΡΙΔΕΙΔΙΑ: κατὰ Ἀρίσταρχον ἀναστρεπτέον τὴν πρόθεσιν· τὸ γὰρ ἑξῆς ἐστι περὶ νέκυος. ὁ δὲ Ἀσκαλωνίτης (p. 56 B.) ὑφ' ἕν.
2 ἀναστρέψεις…πρόθεσιν] scil. *Ἰθάκην κάτα* **4** ὀρθοτονήσεις…πρόθεσιν] scil. *κατὰ κοιρανέουσιν, κατακοιρανέουσιν* **4–8** τὸ…πλείων] cf. Hrd. Cath. Pros. ap. Mich. Sync. 1153 Τὸ αὐτὸ καὶ ἐν τῷ «εὗρε δὲ Πατρόκλῳ περικείμενον». Εἰ μὲν γὰρ τὴν περί πρόθεσιν συντάξειέ τις «περὶ τῷ Πατρόκλῳ», ἀναστραφήσεται ὁ τόνος ἵν' ᾖ περικεχυμένον αὐτῷ· εἰ δὲ «περικείμενον αὐτῷ» ἵνα ἔμφασιν πλείονα δηλώσῃ, οὐκ ἀναστρέφεται ἡ πρόθεσις; Hrd. ap. sch. Τ 4a εὗρε δὲ Πατρόκλῳ περικείμενον: τινὲς ἀνέστρεψαν τὴν *περί*, ἵν' ᾖ *περὶ Πατρόκλῳ κείμενον*, ἐπεὶ καὶ ἐν ἑτέροις ἔφη «ἀμφ' αὐτῷ χυμένη» (Τ 284. θ 527), τῇ δοτικῇ συντάξας τὴν πρόθεσιν, οὐ τῇ μετοχῇ. ἡμῖν δὲ δοκεῖ ὥσπερ ἔτι καὶ τοῖς πλείοσιν καὶ τῷ Ἀσκαλωνίτῃ (p. 58 B.) ἓν εἶναι τὸ *περικείμενον*· ἔμφασις γὰρ μείζων νοεῖται **6** ἀναστραφήσεται…τόνος] scil. *Πατρόκλῳ πέρι*; ἀναστρέφω et ὀρθοτονῶ quid significent explicatur ad § 7; cf. Hrd. ap. sch. Ω 400c[1] τῶν μέτα {παλλόμενος}: {τῶν μετα} ἀναστρέφουσι τὴν πρόθεσιν· ἔστι γὰρ μετὰ τῶν.

1 κατὰ A: κατὰ τὴν V **2** ἀναστρέψεις Dindorf: ἀναστρέψῃς A: ἀναστρέψης V **5–6** εἰ…ἢ AV: εἰ … εἰ Lentz 482.5: ἢ … ἢ Bloch praef. xi prob. Egenolff[2] 243 **5** περὶ V: παρὰ A **6** post Πατρόκλῳ[1] add. κείμενον Lentz 482.6 prob. Egenolff[2] 243, sed facile subauditur **7** περικείμενον V: παρακείμενον A | περικεχυμένον V: παρακεχυμένον A **7–8** ἔμφασις…πλείων sic textum refinxi: ἔμφ[α] γὰρ πλείονα A: ἔμφασις πλεία V

121. Εἰ δὲ μεταξὺ πέσῃ δύο ὀνομάτων ἡ πρόθεσις, τοῦ μὲν κυρίου ὄντος τοῦ δὲ προσηγορικοῦ ἢ ἐπιθετικοῦ καὶ προσηγορικοῦ, ἐν πᾶσι τούτοις ἀναστρέφειν δεῖ τὴν πρόθεσιν, ἵνα τῆς ὅλης συντάξεως προηγήσηται· «ποταμοῦ ἄπο Σελλήεντος» (B 839 al.), ⟨ἀπὸ τοῦ⟩ ποταμοῦ, «Ξάνθῳ ἔπι δινήεντι» (E 479), ἐπὶ τῷ δινήεντι ποταμῷ, «μάχῃ ἔνι κυδιανείρῃ» (Z 124), ἐν τῇ κυδιανείρῃ μάχῃ. 5

1–6 Εἰ . . . *μάχῃ*] cf. Hrd. Cath. Pros. ap. Mich. Sync. 1158 Εἰ δὲ μεταξὺ πέσοι δύο ὀνομάτων ἡ πρόθεσις τοῦ μὲν ἑνὸς κυρίου ὄντος, τοῦ δὲ ἑτέρου προσηγορικοῦ ἢ ἐπιθετικοῦ, ἐν πᾶσι τούτοις ἀναστρέφειν δεῖ τὴν πρόθεσιν ἵνα τῆς ὅλης συντάξεως προηγήσηται οἷον· «ποταμοῦ ἄπο Σελλήεντος» (B 839), ἀπὸ τοῦ Σελλήεντος ποταμοῦ, «Ξάνθῳ ἔπι δινήεντι» (E 479), ἐπὶ τῷ δινήεντι Ξάνθῳ, «μάχῃ ἔνι κυδιανείρῃ» (Z 124), ἐν τῇ κυδιανείρῃ μάχῃ; Hrd. ap. sch. A ad B 839b[1] ποταμοῦ ἀπὸ Σελλήεντος: Πτολεμαῖος ὁ Ἀσκαλωνίτης (p. 43 B.) ἀναστρέφει, πρὸς τὰ προσηγορικώτερα ποιούμενος τὰς συντάξεις· ὁμοίως καὶ Νικίας (fr. 2 B.). οὐκέτι μέντοι ἐπὶ τοῦ «Ξάνθῳ ἐπὶ δινήεντι» (E 479), «μάχῃ ἐνὶ κυδιανείρῃ» (Z 124)· ἐπεφέρετο γὰρ τὰ προσηγορικώτερα. ὁ μέντοι Ἀρίσταρχος τοῖς κυριωτέροις συνέταττε τὰς προθέσεις· διὸ ἀναστρέφων ἀνεγίνωσκε «Ξάνθου ἄπο δινήεντος» (B 877), φυλάσσων δὲ τὸν τόνον ἐπὶ τοῦ ποταμοῦ ἀπὸ Σελλήεντος. εἶτα πολλὰ εἰπὼν ὁ Ἡρωδιανός φησιν ὅτι (2,38,21) «ἐμοὶ μέντοι δοκεῖ τὸ τοιοῦτον ὅλον εἶδος ἀναγινώσκειν κατὰ ἀναστροφήν· εἰ γὰρ δύο ὀνόματά ἐστι καθ' ἑνὸς ὑποκειμένου λαμβανόμενα καὶ σχεδὸν ἕν ἐστι τὸ ὅλον καὶ θέλει ἡ πρόθεσις προηγεῖσθαι, μέση δὲ παρείληπται καθ' ὑποταγήν, ὡς ὑποτεταγμένη ἀναστραφήσεται.», vid. locos ab Erbse allatos; Hrd. ap. sch. B 877a Ξάνθου ἄπο δινήεντος: πᾶσα πρόθεσις μεταξὺ κυρίου καὶ ἐπιθετικοῦ τῷ κυρίῳ ἕπεται κατὰ Ἀρίσταρχον, κατὰ δὲ Πτολεμαῖον (p. 43 B.) τῷ προσηγορικῷ. κατὰ δὲ Ἀπολλώνιον (Fr. p. 136, 16) πάντως ἀναστρέφεται, cum testim. ab Erbse allatis; Hrd. Cath. Pros. ap. Ep. Hom. α 51, ll. 29–32; Ap. Dysc. synt. 442.3 (subaudi e praecedentibus: εὐπαράδεκτος καὶ ἡ δισσὴ τάσις τῶν προθέσεων. ὁ αὐτὸς λόγος...) καὶ ἔτι ἐν ⟨δυσὶν⟩ ὀνόμασι, «μάχῃ ἔνι κυδιανείρῃ» {Z 124. H 113. Θ 448. Ω 391}, «ποταμῷ ἔπι δινήεντι» {Θ 490}, «ποταμοῦ ἄπο Σελλήεντος» {B 659. 839. M 97. O 531}. ὑπὲρ ὧν τῆς διαφορᾶς κατὰ τὸ δέον ἐκθησόμεθα ('in ea libri IV parte, quae periit, aut in libro περὶ προθέσεων' Uhlig ad loc.), ἐν ᾧ καὶ παραστήσομεν τοὺς τρόπους τῶν ἀναστρεφομένων καὶ τῶν μὴ οὕτως ἐχουσῶν; Lehrs 79–86

2 ἢ A: ἡ V **4** ἄπο Dindorf: ἀπὸ V: ἀπο sine accent. A | ἀπὸ τοῦ add. Bloch
5 ἔπι Dindorf: ἐπὶ V: ἐπι sine accent. A | ἔνι V: ἐνι sine accent. A

122. Ὁμοίως καὶ ἐὰν μεταξὺ δύο κυρίων ᾖ ἢ δύο προσηγορικῶν, ἀναστρέφεται, συνδέσμου συμπαραλαμβανομένου μετὰ τὴν πρόθεσιν («νηῶν ἄπο ⟨καὶ⟩ κλισιάων» (Ν 723), «Ἀγαμέμνονος πέρι καὶ Ἀχιλῆος» (cf. TrGF II fr. adesp. 443c), ἵνα πάλιν προηγῆται ἡ πρόθε-
5 σις.

123. Εἰ δὲ μὴ μεταξὺ ᾖ, ὑποταγείη δὲ τούτῳ οὗπερ ἔδει αὐτὴν προηγεῖσθαι, μηδενὸς ἑτέρου λόγου μεταξὺ πίπτοντος, πάλιν ἀναστρέφεται· «ᾧ ἔπι πόλλ' ἐμόγησα» (Α 162) (τὸ γὰρ ἑξῆς ἐστιν· ἐφ' ᾧ πόλλ' ἐμόγησα), «θεῶν ἄπο μήδεα εἰδώς» (ζ 12) (ἀπὸ θεῶν
10 εἰδὼς μήδεα).

124. Εἰ δὲ μεταξὺ τῆς προθέσεως καὶ τοῦ προηγουμένου ὀνόματος ἢ ῥήματος, πρὸς ὃ τὴν σύνταξιν ἔχει ἡ πρόθεσις, ἕτερον μέρος

1–5 Ὁμοίως…πρόθεσις] cf. Hrd. Cath. Pros. ap. Mich. Sync. 1166 Ὁμοίως κἂν μεταξὺ δύο κυρίων ἢ δύο προσηγορικῶν πέσῃ, ἀναστρέφεται συνδέσμου παραλαμβανομένου μετὰ τὴν πρόθεσιν, οἷον· «νηῶν ἄπο καὶ κλισιάων» (Ν 723), «Ἀγαμέμνονος πέρι καὶ Ἀχιλλέως» (cf. TrGF II fr. adesp. 443c), ἵνα πάλιν ἀμφοτέρων προηγῆται ἡ πρόθεσις; Choer. Ep. Ps. 14.15 Ὅπου (ἡνίκα) ἀναμεταξὺ (sic) δύο κυρίων ἢ προσηγορικῶν εὑρεθῶσι σύνδεσμοι, παραλαμβανόμενοι μετὰ προθέσεως, τότε ἀναστρέφονται αἱ προθέσεις, ὡς ἐν τῷ «νεῶν ἄπο (scripsi: ἀπὸ cod.) καὶ κλισιάων», «Ἀγαμέμνονος πέρι καὶ Ἀχιλλῆος»; Hrd. Cath. Pros. ap. Ep. Hom. α 51, ll. 23–9 **6–10** Εἰ…μήδεα] cf. Hrd. Cath. Pros. ap. Mich. Sync. 1170 εἰ δὲ μὴ μεταξὺ πέσῃ, ὑποταγῇ δὲ τούτῳ οὗπερ ἔδει αὐτὴν προηγεῖσθαι, μηδενὸς ἑτέρου μέρους λόγου μεταξὺ πίπτοντος, πάλιν ἀναστρέφεται· ᾧ ἔπι πόλλ' ἐμόγησα· τὸ γὰρ ἑξῆς ἐστιν· ἐφ' ᾧ πολλὰ ἐμόγησα· Ἰθάκῃ ἔνι οἰκία ναίων, ἀντὶ τοῦ· ἐν τῇ Ἰθάκῃ, Θεῶν ἄπο μήδεα εἰδώς, «ἀπὸ θεῶν μήδεα εἰδώς»; Hrd. ap. sch. Ε 739b ⟨ἣν πέρι μὲν πάντῃ Φόβος ἐστεφάνωται:⟩ ἀναστρεπτέον τὴν πρόθεσιν, ἵνα πρὸς τὸ ἥν συντάττηται, vid. et locos ab Erbse allatos; Lehrs 75 **11–112,5** Εἰ…πανδήμιος] Hrd. Cath. Pros. ap. Mich. Sync. 1176 Εἰ δὲ μεταξὺ τῆς τε προθέσεως καὶ τοῦ προηγουμένου ῥήματος ἢ ὀνόματος πρὸς ὃ τὴν σύνταξιν ἔχει ἡ πρόθεσις, ἕτερον μέρος λόγου πέσοι, ὡς ἐπὶ τούτῳ· «τῷ δ' ἐπὶ Τυδείδης ὦρτο, κρατερὸς Διομήδης» (Η 163), —ἔστι γὰρ τὸ ἑξῆς· ἐπὶ τούτῳ δὲ ὁ Τυδείδης ὦρτο—οὐκ ἀναστρέφεται ἡ πρόθεσις, διὰ τὸ μεσοσυλλαβῆσαι τὸν δέ· τοιοῦτόν ἐστι τὸ «ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος» (σ 1); Hrd. ap. sch. Ε 283a[1] τῷ δ' ἐπὶ μακρὸν ἄϋσεν: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· πρὸς γὰρ τὸ ἄϋσε φέρεται. καὶ εἰ πρὸς τὸ ἄρθρον δὲ συνετάττετο, οὐκ ἀνεστρέφετο, δι' ὃν προείπομεν πολλάκις λόγον ('in nostris quidem scholiis non ante hunc locum' Erbse ad loc.)

1 κυρίων V: κυριῶν A **3** καὶ[1] add. Bloch | κλισιάων Dindorf: κλησιάων AV **4** Ἀχιλῆος A: Ἀχιλλῆος V | προηγῆται V (coni. Bloch): προηγεῖται A **8** ἑξῆς A: ἐξ ἧς V

λόγου πέσῃ, ⟨οὐκ ἀναστρέφεται ἡ πρόθεσις⟩, ὡς ἐπὶ τοῦ «τῷ δ' ἐπὶ Τυδείδης ἦλθε κρατερὸς Διομήδης» (Η 163. Ψ 812) – ἔστι γὰρ τὸ ἑξῆς· ἐπὶ τούτῳ δὲ ὁ Τυδείδης ἦλθε. οὐκ ἀναστρέφεται ⟨δὲ⟩ ἡ πρόθεσις διὰ τὸ μεσοσυλλαβῆσαι τὸν *δέ*. τοιοῦτό ἐστι καὶ τὸ «ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος» (σ 1). 5

125. Εἰ μέντοι ἐν τέλει στίχου εἴη ἢ ἁπλῶς ἐν τέλει νοήματος, μεθ' ἣν τίθεται στιγμή, ἀναστρέφεται πάντως, οἷόν ἐστι «τῶν πάντων δ' ἔπτυσε πολὺ κάτα» (Call.? fr. 779 Pf.)· ἀναστρέφομεν γὰρ τὴν πρόθεσιν, τοῦ ἑξῆς ὄντος *κατέπτυσε*, κἂν μεσοσυλλαβήσαι τινὰ μόρια. 10

126. Διὸ σημειοῦνται τὴν παρὰ τῷ Πλάτωνι ἀνάγνωσιν «ἀρετῆς δ' αὖ πέρι» (nusquam ap. Platonem legitur), διότι ἀνεστράφη ἡ πρόθεσις μεσοσυλλαβοῦντος τοῦ *δέ* συνδέσμου καὶ τοῦ *αὖ*· τὸ γὰρ ἑξῆς ἐστι· περὶ ἀρετῆς δ' αὖ.

ὡς ὅτι, ἐὰν μεταξὺ πέσῃ μέρος λόγου, οὐ γίνεται ἀναστροφὴ τῆς προθέσεως, ἐὰν μὴ τελευταία στίχου τεθῇ, vid. et locos ab Erbse allatos; Lehrs 75
6–10 Εἰ… μόρια] Hrd. Cath. Pros. ap. Mich. Sync. 1182 εἰ μέντοι ἐν τέλει στίχου εἴη ἢ ἁπλῶς ἐν τέλει νοήματος μεθ' ἣν τίθεται στιγμή, ἀναστρέφεται πάντως, οἷόν ἐστι τὸ «πάντων δ' ἔπτυσε πολὺ κάτα» (Call. fr. 779 Pf.)· ἀναστρέφομεν γὰρ τὴν πρόθεσιν, τοῦ ἑξῆς ὄντος «κατέπτυσε», κἂν μεσοσυλλαβήσαι (revocavi ex bP: μεσοσυλλαβῆται ex libris plerisque Donnet) τινὰ μόρια; Hrd. ap. sch. E 283a[2] τῷ δ' ἐπὶ μακρὸν ἄϋσε: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· πρὸς γὰρ τὸ ἄϋσε φέρεται. ἀλλ' οὐδ' εἰ πρὸς τὸ ἄρθρον ἐφέρετο, ἀνεστρέφετο· ἐὰν γὰρ μεταξὺ πέσῃ μέρος λόγου, οὐκ ἀναστρέφεται, εἰ μὴ ἐν τέλει, ὡς τὸ «ἔπτυσε πολὺ κάτα» (Call. fr. 779 Pf.); a nostro loco abhorret Ap. Dysc. synt. 436.4 **11–14** Διὸ… αὖ] haec cum iis quae in § **124** leguntur cohaerent; Hrd. Cath. Pros. ap. Mich. Sync. 1186 Διὸ σημειοῦνται τὴν παρὰ Πλάτωνι ἀνάγνωσιν «ἀρετῆς δ' αὖ πέρι», διότι ἀναστρέφεται ἡ πρόθεσις μεσοσυλλαβοῦντος τοῦ δέ συνδέσμου καὶ τοῦ αὖ· τὸ γὰρ ἑξῆς «περὶ δὲ ἀρετῆς αὖ»; Lehrs 78

1 οὐκ… πρόθεσις] lacunam statui, exempli gratia explevi **2** ἦλθε] ὦρτο Homerus et Mich. Sync. 1180 **3** ἦλθε] ὦρτο Mich. Sync. 1181 | δὲ[2] addidi **4** δέ A: δε V **6** νοήματος Mich. Sync. 1182 codd. plerique: ὀνόματος AV et Mich. Sync. 1182 codd. bS **9** κατέπτυσε V: κατ' ἔπτυσε A | μεσοσυλλαβήσαι (optat.) Mich. Sync. 1185 codd. bP, recepi coll. e.g. § **145** κἂν ὑπὲρ μίαν συλλαβὴν εἴη: μεσοσυλλαβῆσαι AV: μεσοσυλλαβῇ vel μεσοσυλλαβήσῃ Dindorf praef. xi (cum μεσοσυλλαβήσῃ compone § **124** εἰ … πέσῃ; μεσοσυλλαβήσῃ praebent etiam Mich. Sync. 1185 codd. P_2D): μεσοσυλλαβῆται Mich. Sync. 1185 codd. plerique **11** Διὸ] vid. § **124** | παρὰ Dindorf: περὶ AV **13** δέ A: δε V | αὖ A: αυ V

127. Καθόλου δὲ αἱ ἀναστρεφόμεναι δισύλλαβοί τέ εἶναι ⟨θέλουσι⟩ καὶ δίχρονοι. ὅθεν τριχρονοῦσαι ἡ *ἀντί* καὶ *ἀμφί* οὐκ ἀναστρέφονται οὐδὲ αἱ τῷ -ι πλεονάζουσαι· *καταί*, *παραί*, *ὑπείρ*. σημειούμεθα τὴν *διά* χώραν ἔχουσαν ἀναστροφῆς καὶ μὴ ἀναστρεφομένην

1–114,3 Καθόλου…κοιμᾶτο] (τριχρονοῦσαι sunt praepositiones bisyllabae trium temporum/morarum, hoc est, quae constant altera longa et altera brevi syllaba;) cf. Hrd. Cath. Pros. ap. Mich. Sync. 1135 Τῶν δὲ δισυλλάβων αἱ μὲν δίχρονοι ἔν τε τοῖς πεζοῖς καὶ ἐν τοῖς ἐμμέτροις ἀναστρέφονται παρὲξ τῆς διά ἵνα μὴ συνεμπέσῃ τῇ αἰτιατικῇ τοῦ Ζεύς ὀνόματος, τουτέστιν τῇ Δία, καὶ τῆς ἀνά, ἵνα μὴ συνεμπέσῃ τῷ· «ἄνα Λητοῦς / υἱέ» (A.R. 2.214–5)· αἱ δὲ τρίχρονοι οὐκ ἀναστρέφονται, ἥ τε ἀμφί καὶ ἀντί, ὅθεν οὐδὲ αἱ τὸ -ι πλεονάζουσαι οἷον καταί, παραί, ὑπείρ, ἅτε τρίχρονοι γενόμεναι οὐκ ἀναστρέφονται. Ἡ δὲ ἐν πρόθεσις δισυλλαβήσασα καὶ διχρονήσασα ἀναστρέφεται, οἷον· «ἡμετέρῳ ἔνι οἴκῳ» (Α 30), καὶ πάλιν «ᾧ ἔνι κούρῃ κοιμᾶτο» (ζ 15–6); sch. D. Thr. (Heliodori) 94.21; id. (Vat.) 270.28; id. (Marc.) 426.26; legem anastrophae non ubique valere memorat et Ap. Dysc. synt. 436.1 πρὸς τῷ μηδὲ ἐξωμαλίσθαι τὰ τῆς ἀναστροφῆς, εἴγε οὐχ ἅπασαι (scil. αἱ προθέσεις) μετατεθεῖσαι τῆς τάξεως μετατίθενται καὶ τοῦ τόνου; Ap. Dysc. synt. 444.1 διὰ τὸ αὐτὸ (hoc est, ut anastrophe accentus fieri possit) καὶ κατ' ἀρχὴν καὶ κατὰ τέλος βραχεῖαι (scil. praepositiones)· ὁ γὰρ βραχὺς χρόνος εὐμετάθετος κατὰ τάσιν, ὅπου γε καὶ ἡ Αἰολὶς μετατιθεῖσα τοὺς τόνους τοὺς κατὰ τὸ τέλος ἐκ βραχείας συλλαβῆς (sic coniecit Uhlig: εἰς βραχείας συλλαβάς codd., idque retinuit Lallot) μετατίθησι κατὰ τὸ πλέον. πλεονάσασαι οὖν χρόνῳ ἐλλείπουσι καὶ τῇ ἀναστροφῇ, ὡς ἡ καταί, ὑπαί καὶ αἱ τοιαῦται.—Ἀλλ' οὐ πᾶσαι ἀναστρέφονται. οὐδὲ γὰρ πᾶσα ἀντωνυμία καὶ ἐγκλίνεται καὶ ὀρθοτονεῖται, ἀλλ' ἐπὶ τὸ πλέον ταύταις παρέπεται· οὐδὲ πάντα τὰ πύσματα ⟨ἐν⟩ βαρείᾳ ἐστὶ τάσει, ἀλλ' οὐδὲ ἄλλα πλεῖστα ἐξωμάλισται; plures locos de praepositionibus ἀντί, ἀμφί etc inferius offendes **2** ἀντί…ἀμφί] de ἀντί et ἀμφί vid. etiam Hrd. ap. sch. Ρ 522a … ἡ δὲ ἀντί καὶ ἀμφί (scil. anastrophen respuunt) ὡς τρίχρονοι, vid. et locos ab Erbse allatos; Choer. Ep. Ps. 14.13 ἡ ἀντὶ καὶ ἀμφὶ ἐτριχρονίασαν, καὶ αἱ φθάσασαι τριχρονίσαι προθέσεις οὐκ ἀναστρέφονται; Ep. Hom. α 293, l. 92 **3** οὐδὲ…ὑπείρ] de praepositionibus pleonastico iota auctis vid. etiam Hrd. ap. sch. Β 824a ὑπαὶ πόδα: οὕτως ὑπαί ὡς καταί καὶ παραί· αἱ γὰρ προθέσεις ἐπαυξανόμεναι διὰ τοῦ ι φυλάσσουσι τὸν αὐτὸν τόνον, vid. et locos similes ab Erbse allatos **4** διά] de διά cf. etiam Hrd. ap. sch. Ρ 522a ἶνα τάμῃ ⟨διὰ⟩ πᾶσαν: … οὐκ ἀναστρέφεται δὲ ἡ διά, ἵνα μὴ συμπέσῃ τῇ Δία αἰτιατικῇ, vid. et locos ab Erbse allatos; Ep. Hom. α 293, l. 92; Choer. Ep. Ps. 14.10

1 θέλουσι add. Bloch praef. xi **2** ἀντί A: ἀντι V | ἀμφί A: ἀμφι V **3** τῷ Dindorf: τὸ AV | καταί παραί Dindorf: κάται πάραι V: κάται πᾶραι A | ὑπείρ V: ὑπεῖρ A **4** χώραν Dindorf: χῶραν AV

διὰ τὴν πρὸς τὸν *Δία* συνέμπτωσιν· ⟨ὁμοίως καὶ τὴν *ἀνά* διὰ τὴν τοῦ «ἄνα Λητοῦς / υἱέ» (A.R. 2.214–5) συνέμπτωσιν⟩. ἡ δὲ *ἐν* πλεονάσασα τῷ -*ι* ἀνεστράφη· «ᾧ ἔνι κούρη / κοιμᾶτο» (ζ 15–6).

128. Καὶ τὰς μονοσυλλάβους δέ, ἐὰν ἐπὶ τέλει ὦσιν στίχου, ἀναστρέφουσιν, οἷον «ἐλθὼν δ' ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξύν·» 5 (ο 410). ῥώννυται γὰρ ὁ τόνος τῆς *σύν* προθέσεως, ἵνα νοῆται ἡ ἀναστροφή. τοιοῦτό ἐστι καὶ τὸ «οὐ μέν μοι κακὸς εἴδεται, οὐδὲ κακῶν ἔξ.» (Ξ 472).

129. Καὶ πᾶσα δὲ πρόθεσις ῥῆμα σημαίνουσα βαρύνεται· «ἔνθ' ἔνι μὲν φιλότης» (Ξ 216), «πάρα δ' ἀνήρ, ὃς καταθήσει.» (π 45). 10

1 ἀνά] de ἀνά cf. etiam Hrd. ap. sch. E 824a, vid. et testim. ab Erbse allata; vid. et ad § **129** **2–3** ἡ…κοιμᾶτο] de ἐν/ἐνί vid. etiam Ap. Dysc. synt. 443.7 Διὰ τοῦτο καὶ ἐπεκτεινόμεναι συνέλκουσι κατὰ τὸ τέλος τὴν ὀξεῖαν, ὡς ἔχει ἡ ἐνί καὶ ἡ προτί.—διὰ τοῦτο οὐδ' οἱ περὶ τὸν Ἀριστοφάνη ἠξίωσαν βαρύνειν τὰ μόρια κατὰ τὴν Αἰολίδα διάλεκτον, ἵνα μὴ τὸ ἴδιον τῆς προθέσεως ἀποστήσωσιν, λέγω τὴν ἀναστροφήν· εἰ γὰρ καὶ ἐβαρύνθησαν, ἀνθελκόμεναι ἀπὸ τῆς τοῦ ῥήματος συντάξεως ἢ τοῦ ὀνόματος ἐζήτησαν τὸ ἀμεῖψαι τὸν τόνον, καθ' ἃς εἴπομεν αἰτίας. **4–8** Καὶ…ἔξ] cf. Hrd. Cath. Pros. ap. Mich. Sync. 1129 Αἱ μὲν οὖν μονοσύλλαβοι προθέσεις ὅταν ἐν τέλει στίχου μόνον ὦσιν, ἀναστρέφονται καὶ ὀρθοτονοῦσι τὴν ὀξεῖαν τάσιν, ὅπως ἡ ἀναστροφὴ καταλαμβάνηται, οἷον· «οὐ μέν μοι κακὸς εἴδεται, οὐδὲ κακῶν ἔξ» (Ξ 472) καὶ πάλιν· «ἐλθὼν δ' ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξύν» (ο 410); Hrd. ap. sch. Ω 397 Μυρμιδόνων δ' ἔξ εἰμι: οὐκ ἀναστρέφεται ἡ ἐξ ὡς μονοσύλλαβος (nam non in fine versus posita est); Eust. Il. III 680.21 ad Ξ 472 Ἡ δὲ ἐξ πρόθεσις λόγῳ κάλλους καὶ αὐτὴ ἐν τέλει στίχου ἐτέθη κρουστικώτερον τῷ τόνῳ, καθάπερ καὶ ἡ πρό καὶ ἡ σύν ἐν τῷ «Ἰλιόθι πρό» (Θ 561 al.), καὶ «Ἀρτέμιδι ξύν» (ο 410); vid. quae Erbse annotat ad Ξ 472; Lehrs 97–100 **9–10** Καὶ…καταθήσει] cf. Hrd. Cath. Pros. ap. Mich. Sync. 1199 Παραλαμβάνονται δὲ πολλάκις αἱ δισύλλαβοι προθέσεις διχρονοῦσαί τε καὶ βαρυνόμεναι ἀντὶ ῥημάτων, οἷον· «ἔνθ' ἔνι μὲν φιλότης» (Ξ 216), «πάρα δ' ἀνήρ, ὃς καταθήσει» (π 45); Hrd. ap. sch. A 174 πάρ' ἔμοιγε: τὴν παρά πρόθεσιν κατὰ τὴν ἄρχουσαν ὀξυτονητέον. καὶ καθόλου ὁπότε σημαντικαί εἰσι ῥημάτων αἱ προθέσεις, τοῦτον τὸν τόνον ἀναδέχονται· «ἐπεὶ οὔ τοι ἔπι δέος» (A 515), «οὐ γὰρ ἔπ' ἀνήρ / οἷος 'Οδυσσεύς» (β 58—9), vid. et testim. ab Erbse allata; sch. E 178a[1]

1 συνέμπτωσιν Dindorf: συμπίπτωσιν A: συνεμπίπτωσιν V **1–2** ὁμοίως… συνέμπτωσιν addidi coll. Mich. Sync. 1137; praeivit Lehrs 72 ('Apud Jo. Al. ἀνά casu excidit') cui tamen locus Mich. Sync. ignotus erat; huiusmodi lacunas ratione in praef. V indicata suppleo; de structura διὰ τὴν τοῦ e.q.s. cf. § **175** τὸ δὲ «χῶρι διατμήγουσι» (Call. fr. 302.2 Pf.) βαρύνεται **2** ἐν A: εν V **4** τέλει ὦσιν A: τελείωσιν V **6** ῥώννυται A: ῥώνυται V | νοῆται V: νοεῖται A **7** κακὸς V:

130. Αἱ συναληλιμμέναι οὐκ ἀναστρέφονται, εἰ μὴ στιγμῆς ἐπιφέροιτο ἀνάπαυσις ἢ κινδυνεύοι τὸ σημαινόμενον λυμαίνεσθαι· «τῆσι παρ' εἰνάετες» (Σ 400)· τὸ γὰρ ἑξῆς *παρὰ τῆσι*. «νῆας ἐπ' ἐσσεύοντο» (Β 150), *ἐπὶ τὰς νῆας*. οὐκ ἀναστρέφονται οὖν διὰ τὴν
5 συναλειφήν. ἐν μέντοι τῷ «ἄστυ κάτ'· αὐτὰρ μῆλα κακοὶ φθινύθουσι νομῆες» (ρ 246) ἀναστρέφεται ἡ *κατά*, διότι μετ' αὐτὴν κεῖται στιγμή. καὶ ἐν τῷ «στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν» (Σ 191)

(Hrd.); sch. A 515; Lehrs 93; Eust. Il. I 118.26; de ἄνα=ἀνάστηθι: Aristarch., Hrd., aliique ap. sch. E 824a; Ep. Hom. α 264, vid. et testim.
1–116,2 Αἱ…παροισέμεν] cf. Hrd. Cath. Pros. ap. Mich. Sync. 1189 Αἱ συναληλιμμέναι οὐκ ἀναστρέφονται, εἰ μὴ στιγμῆς ἐπιφέροιτο ἀνάπαυσις ἢ κινδυνεύοι τὸ σημαινόμενον λυμαίνεσθαι, οἷον· «τῆσι παρ' εἰνάετες» (Σ 400)· τὸ γὰρ ἑξῆς «παρὰ τῆσι»· «νῆας ἐπ' ἐσσεύοντο» (Β 150)· οὐκ ἀναστρέφονται οὖν διὰ τὴν συναλοιφήν. Ἐν μέντοι τῷ· «ἄστυ κάτ'· αὐτὰρ [ἐπεὶ κατὰ] μῆλα κακοὶ φθείρουσι νομῆες» (ρ 246), ἀναστρέφεται ἡ κατά διότι μετ' αὐτὴν κεῖται στιγμή, καὶ ἐν τῷ· «στεῦτο δ' ἄρ Ἡφαίστοιο πάρ' οἰσέμεν» (Σ 191), ἀναστρέφεται, ἵνα ᾖ «παρὰ τοῦ Ἡφαίστου οἰσέμεν», καὶ μὴ νομίζηται «τοῦ Ἡφαίστου ὅπλα παροισέμεν»; Hrd. ap. sch. Σ 191a στεῦτο γὰρ Ἡφαίστοιο ⟨ΠΑΡΟΙΣΕΜΕΝ ἔντεα καλά⟩: Χαῖρις (fr. 6 B.) τῷ τὰς συναλειφθείσας προθέσεις μὴ ἀναστρέφεσθαι καὶ ἐνθάδε οὐκ ἀναστρέφει ⟨***⟩, ἵνα μὴ διάφορον σημαινόμενον νοηθῇ· διαφέρει γὰρ τὸ παρενεγκεῖν Ἡφαίστου ὅπλα. ὅτι δὲ καὶ ἐν ἄλλοις ἀναγνώσμασιν ὁ ἀνὴρ τοιοῦτος, προείπομεν ἤδη (sc. ad B 153a), vid. et testim. ibi allata; Hrd. ap. Σ 191b στεῦτο γὰρ Ἡφαίστοιο ⟨ΠΑΡΟΙΣΕΜΕΝ⟩: Ἀρίσταρχος ἀναστρέφει τὴν πρόθεσιν πρὸς τὸ μὴ ἀμφιβάλλεσθαι τὸν λόγον, καίτοι τῶν συναλειφομένων μὴ ἀναστρεφομένων, ὡς καὶ Ἀπολλώνιος (Ap. Dysc. Frg. p. 136, 12) φησίν. ἐπείσθη δὲ καὶ ἡ παράδοσις Ἀριστάρχῳ, vid. et testim.; praepositio postposita synaloephen passa sequente interpunctione: Hrd. ap. sch. ρ 246 ἄστυ κάτ'·] εἰ καὶ συναλοιφή, ὅμως δύναται ἀναστρέφεσθαι διὰ τὴν ἀνάπαυσιν ... et ap. sch. Σ 400b τῆσι παρ' εἰνάετες: οὐκ ἀναστρεπτέον τὴν παρά, ἐπεὶ πᾶσα πρόθεσις συναληλιμμένη καὶ μὴ ἔχουσα ἀνάπαυσιν οὐκ ἀναστρέφεται. σεσημείωται τὸ «στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν ἔντεα» (Σ 191); Lehrs 75–8

κοκὸς A **10** πάρα Dindorf: παρὰ A: παρα sine accentu V | ἀνήρ ὃς distinxit Dindorf: ἀνῆρος AV
1 συναληλιμμέναι Mich. Sync. 1189 (iam reposuit Dindorf praef. xii 'ex MS περὶ πρ.': συνηλλαγμέναι V: συναλλαγμέναι A **2** ἢ…λυμαίνεσθαι] sensus est: ἢ εἰ μὴ κινδυνεύοι τὸ σημαινόμενον λυμαίνεσθαι; hoc est, εἰ κινδυνεύοι τὸ σημαινόμενον λυμαίνεσθαι, αἱ συναληλιμμέναι ἀναστρέφονται **3** τῆσι[1]… εἰνάετες Dindorf praef. xii: τισὶ παρευνάετες A: τισὶ παρευνάδες V | παρὰ τῆσι Lentz 487.1: παρά τισι AV **3–4** ἐπ' ἐσσεύοντο] distinxit Lentz 487.1: ἐπεσσεύοντο AV **5** κάτ' αὐτὰρ Dindorf: κάτα γὰρ AV | φθινύθουσι Dindorf: φθηνύθουσι A: φθινήθουσιν V **7** στιγμή VA[p.c.]: στιγμήν A[a.c.]

ἀναστρέφουσιν, ἵνα ᾖ *παρὰ τοῦ Ἡφαίστου οἰσέμεν*, καὶ μὴ νομίζηται *τοῦ Ἡφαίστου ὅπλα παροισέμεν*.

Περὶ ἐπιρρημάτων (131–198)

131. Τὴν τῶν ἐπιρρημάτων προσῳδίαν ποικίλην οὖσαν καὶ λίαν χρειώδη τοῖς στίζειν ἐθέλουσιν ὡς ἂν οἷός τε ὦ ἐκ τῶν Ἡρωδιανοῦ ὡς ἐν ἐπιτομῇ διεξελεύσομαι. 5

132. Τὰ μὲν οὖν ἀπὸ τῶν πτωτικῶν σύνταξιν ἐπιρρηματικὴν †μετελθόντων σύνταξιν ὀλίγην† παραθήσομαι· (1) «ψεύσομαι ἢ

2 ἐπιρρημάτων] Herodianus accentum adverbiorum in libro XIX Catholicae complexus erat, cf. Arc. 4.20 **6–7** Τὰ…παραθήσομαι] cf. sch. (Marc.) D. Thr. 435.3 Ἐκ πόσων δὴ πτώσεων γίνονται τὰ ἐπιρρήματα; Ἐκ πασῶν· ἀπὸ εὐθείας, ὡς ἐκ τοῦ πρόφρων, ὃ δηλοῖ τὸν πρόθυμον, τὸ πρόφρων, οἷον (Ξ 357) «πρόφρων ⟨νῦν⟩ Δαναοῖσι, Ποσείδαον, ἐπάμυνον», ἀντὶ τοῦ προφρόνως· ἀπὸ γενικῆς, ὡς ἐκ τῆς προικός γενικῆς τὸ προικός ἐπίρρημα, οἷον (ν 15) «ἀργαλέον γὰρ ἕνα προικὸς χαρίσασθαι»· ἀπὸ δοτικῆς, ὡς ἐκ τῆς ἰδίᾳ δοτικῆς (ἔστι γὰρ ἡ εὐθεῖα ἡ ἰδία, ἡ γενικὴ τῆς ἰδίας, ἡ δοτικὴ τῇ ἰδίᾳ) τὸ ἰδίᾳ ἐπίρρημα, οἷον «ἰδίᾳ ἦλθον ἐγώ, παρρησίᾳ ἐλάλησα τῷ κόσμῳ»· ἀπὸ αἰτιατικῆς, ὡς ἐκ τῆς ἀπριάτην αἰτιατικῆς (ἔστι γὰρ ἡ εὐθεῖα ἡ ἀπριάτη, ἡ γενικὴ τῆς ἀπριάτης, ἡ δοτικὴ τῇ ἀπριάτῃ, ἡ αἰτιατικὴ τὴν ἀπριάτην) τὸ ἀπριάτην ἐπίρρημα, οἷον (Α 99) «ἀπριάτην ἀνάποινον»· καὶ ὡς ἐκ τῆς πέραν αἰτιατικῆς (ἔστι γὰρ ἡ πέρα, καὶ κλίνεται τῆς πέρας, ἡ δοτικὴ τῇ πέρᾳ, ἡ αἰτιατικὴ τὴν πέραν) τὸ πέραν ἐπίρρημα, ὡς τὸ (Ev. Ioh. 18.1) «πέραν τοῦ χειμάρρου τῶν Κέδρων»· ἀπὸ κλητικῆς, οἷον ⟨ἐκ τοῦ⟩ ὦ Ἡράκλεις, τὸ Ἡράκλεις ἐπίρρημα, οἷον (Lucian. Fugit. c. 32) «Ἡράκλεις ἀλεξίκακε», καὶ ἐκ τοῦ ὦ Ἄπολλον τὸ (Ar. Plut. 854) «Ἄπολλον ἀποτρόπαιε»· ἀμφότερα γάρ, τό τε Ἡράκλεις καὶ τὸ Ἄπολλον, ἐπὶ θαυμασμοῦ καὶ ἐκπλήξεως· †ὡς καὶ παρὰ Λουκιανῷ τὸ ὦ τοῦ θαύματος† (cruces loco apposui coll. Ep. Hom. ε 71); unde fortasse Ep. Hom. ε 71 (vid. et locos a Dyck allatos) **7–117,3** ψεύσομαι…ἀκούσας] (1) ἔτυμον, (2) νέον, (3) ὑπέρβιον, (4) μέγα, (12a) ἐτεόν sunt Herodiano pro nominativis singularibus neutrius generis in adverbialem syntaxin translatis, accentus autem eorum hunc canonem sequi videtur: ea adverbia quae forma cum nominativo singulari neutrius generis conveniunt, etiam accentu cum eo conveniunt (vid. Lentz 487.13–4 cum app. crit. ad loc.); cf. Ap. Dysc. adv. 151.4 ἡ ἀπὸ τῶν ὀνομάτων μετάπτωσις εἰς τὰ ἐπιρρήματα, καθ' οὓς λόγους ἐδείξαμεν ἐν ἀρχαῖς, πάντως

2 νομίζηται Dindorf: νομίζεται AV 2 ἐπιρρημάτων A: ἐπιρρήματος V **4** ὦ Lentz ad 487.11: ᾧ V: ᾦ A 7 μετελθόντων…ὀλίγην] crucibus inclusi; fortasse scribendum μετελθόντα [σύνταξιν] ὀλίγα ⟨ἃ⟩

ἔτυμον ἐρέω» (K 534, δ 140). (2) «ἠὲ νέον μεθέπεις» (α 175), «νέον δ' ἀπέληγεν ἐδωδῆς» (Ω 475). (3) «οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι» (P 19). (4) «Ἕκτωρ δ' ἐχάρη μέγα μῦθον ἀκούσας» (Γ 76). (5) «πυκνὰ

μετὰ τῶν παρεπομένων ἔχει καὶ τὰς γραφὰς συνυπαρχούσας, καθάπερ τὸ ἀτρεκές, συνεμπεσὸν ὀνόματι, καὶ γραφὴν καὶ τόνον ἀπηνέγκατο, τὸ καλόν, τὸ εὐρύ, τὸ κάλλιστα, τὸ πυκνά· σχεδὸν ἐπὶ πάντων ὁ λόγος συμφωνεῖ; ibid. 158.27–159.4; Hrd. ap. sch. Υ 30b[1] ὑπὲρ μόρον {ἐξαλλαπάξῃ}: Ἀριστοφάνης ὡς «ὑπέρβιον» (P 19. μ 379 al.), ἓν μέρος λόγου ποιῶν· καὶ ὁ Ἀσκαλωνίτης (p. 58 B.), ἐπεὶ ἀντὶ ἐπιρρήματος τοῦ ὑπερμόρως παρείληπται, ὁμοίως πληθυντικῷ τῷ «ἔνθα κεν Ἀργείοισιν ὑπέρμορα νόστος» (B 155). καὶ ὃν τρόπον «οὐ μὲν καλὸν ἀτέμβειν» (φ 312) ἀντὶ τοῦ καλῶς ἐστὶ καὶ τὸ πληθυντικὸν «οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο» (Z 326), οὕτως καὶ τὸ προκείμενον ἑνικῶς καὶ πληθυντικῶς εἰς σύνταξιν παρελεύσεται ἐπιρρήματος· «δείδω μὴ καὶ τεῖχος ὑπέρμορον ἐξαλαπάξῃ» καὶ «ἔνθα κεν Ἀργείοισι⟨ν⟩ ὑπέρμορα νόστος» (B 155). ἐντελῶς δὲ ἐν τῇ B (sc. ad 155) περὶ τῆς προσῳδίας διελάβομεν· διὸ νῦν παρίημι … vid. et locos ab Erbse allatos

3 πυκνὰ] πυκνά, ut inferius (9) θαμά, (10) καλά, (11) ταχύτατα, (12b) ἐτεά, et (13) ἐτά pro nominativis Herodianus accipit pluralibus neutrius generis in adverbialem syntaxin translatis; regulam Herodiani patet esse hancce: quae adverbia cum nominativis neutris pluralibus forma congruunt, etiam accentu cum eis congruunt; cf. Hrd. Cath. Pros. ap. Ep. Hom. ε 79 ἐπιδέξια (B 353): ἐπίρρημα μεσότητος· ἡ εὐθεῖα ἐπιδέξιος … Κλίνεται δὲ ὁ ἐπιδέξιος τοῦ ἐπιδεξίου καὶ τὸ ἐπιδέξιον καὶ τὰ ἐπιδέξια, ὡς ἐνδέξια (A 597 alibi)· καὶ φυλάττει τὸν αὐτὸν τόνον· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι τὰ ἀπὸ ὀνομάτων εἰς ἐπιρρηματικὴν σύνταξιν μεταγόμενα ὁμότονα τοῖς ὀνόμασι καθέστηκεν …., vid. et locos a Dyck allatos; Ap. Dysc. adv. 153.10 βαρύνεται καὶ ὅσα ἐν ὁμοφωνίᾳ καθέστηκε πληθυντικῶν βαρυτόνων ὀνομάτων· ἡδύτατος, καὶ πληθυντικὸν ἡδύτατα, ἀλλὰ καὶ ἐπιρρηματικῶς τὸ ἡδύτατα. ὀρθῶς ἔχει τὸ κάλλιστα, ἔσχατα, ἥδιστα, πρῶτα; ibid. 155.6 ὀξύνεται καὶ τὰ ἐν ὁμοφωνίᾳ ⟨ὀξυτόνων⟩ (addidi; cf. Schneider ad 155.6–7 = Gr.Gr. II.I.2 p. 172) οὐδετέρων πληθυντικῶν. παρὰ τὸ πυκνός πληθυντικὴ προφορὰ γίνεται οὐδετέρα πυκνά, ᾧ σύνεστι πάλιν ὁμόφωνον ἐπίρρημα τὸ πυκνά. οὕτως ἔχει καὶ τὸ δεξιά καὶ ἀριστερά, σημαίνοντα τὸ δεξιῶς καὶ ἀριστερῶς. τοιοῦτον ἐστι καὶ τὸ καλά…; Hrd. ap. sch. Υ 30b[1] (supra) et ap. sch. B 155a ὑπέρμορα: οὕτως ὑφ' ἓν τὸ ὑπέρμορα· οὐ γὰρ (ὥς τινες) κατὰ διάστασιν. ἔστιν οὖν τι μόρος, ὃ συντεθὲν γίνεται ὑπέρμορος ὡς ὠκύμορος, οὗ οὐδέτερον τὸ ὑπέρμορον καὶ πληθυντικὸν τὸ ὑπέρμορα. ὡς οὖν τὸ καλά καὶ ὄνομα, ἀλλὰ καὶ ἐπίρρημα—«ἦ μευ καλὰ πατὴρ ὣς κήδεαι υἷος» (ρ 397) καὶ «πυκνὰ μάλα στενάχων» (Σ 318)—, οὕτως καὶ ὑπέρμορα νόστος ἐτύχθη, vid. et locos ab Erbse congestos; Hrd. ap. sch. α 320b; Hrd. ap. Ep. ad A 6A = Ep. Hom. π 11 πρῶτα: ἐπίρρημα μεταχθὲν ἀπὸ οὐδετέρου. ἰστέον δὲ ὅτι τὰ ἐπιρρήματα

3 post δ' vocabulum Homericum αὖτ' neglexit Ioh. Alex.

μάλα στενάχοντο» (Φ 417). (6) «πύκα ποιητοῖο» (Σ 608), μὴ φυλάξαν τὴν φωνὴν τοῦ ὀνόματος, ἀλλ' ἀποβολῇ τοῦ -ν- πεποιηκὸς βαρύνεται. (7) *ὠκέα*, *ὦκα*, (8) *σαφέα*, *σάφα*· καὶ τούτων ἀνεβιβάσθη ὁ τόνος καὶ μετὰ τὴν ὑπεξαίρεσιν τοῦ -ε-. (9) τὸ δὲ *θαμά* ὀξύνεται ἀπὸ

μεταγόμενα ἀπὸ οὐδετέρων τὸν αὐτὸν τόνον θέλουσι φυλάττειν ..., vid. et locos a Dyck allatos
1–4 πύκα…-ε-] (6) πύκα, (7) ὠκέα, ὦκα, (8) σαφέα, σάφα, nominativi sunt plurales neutrius generis in adverbialem syntaxin translati; regula Herodianea est haec: quae adverbia non iisdem utuntur formis atque nominativi neutri plurales, barytona sunt, cf. Ap. Dysc. adv. 152.27 Βαρύνεται καὶ ὅσα οὐκ ἐν ὁμοφωνίᾳ γίνεται πληθυντικῶν οὐδετέρων ὀνομάτων. παρὰ τὸ ταχύς ἐστιν ὄνομα πληθυντικὸν ταχέα, ἀφ' οὗ ἐπίρρημα οὐχ ὁμόφωνον τὸ τάχα· λιγύς λιγέα λίγα· κρατύς κρατέα κράτα καὶ κάρτα· ὠκύς ὠκέα ὦκα; ibid. 155.13 πίστις δὲ τοῦ τὴν συνέμπτωσιν τοῦ τόνου ἐπικρατεῖν τῶν προκειμένων ἐπιρρημάτων (scil. adverbiorum πυκνά, δεξιά, ἀριστερά, καλά) τὸ βαρυνθῆναι τὸ πυκνά ἐνδεῆσαν τῷ ν, καθὸ ἐξέκλινε τὴν ὁμοφωνίαν — Καὶ οὐ δεῖ ἀπορεῖν, διὰ τί παρὰ τὸ σαφῶς τὸ σάφα ἐβαρύνθη, παρὰ δὲ τὸ καλῶς οὐκέτι τὸ καλά· ὃ μὲν γὰρ τῇ ὁμοφωνίᾳ ἐκρατεῖτο τῇ πρὸς τὸ καλός καλά, ὃ δὲ οὐ τῇδε εἶχε.—καὶ τὸ οὐδαμά δέ, παρακείμενον τῷ οὐδαμῶς, ἔχοιτο ἂν τοῦ κατὰ τὸ τέλος ὀξέος τόνου λόγῳ ⟨τοιῷδε⟩. οὐκ ἔστιν ὅμοιον τὸ σαφῶς τῷ οὐδαμῶς, ἵνα ὁμ⟨οιον⟩ τῷ σάφα τὸ οὐδαμά κατὰ τάσιν καθίστηται. παράκειται μὲν γὰρ τὸ σαφῶς τῷ σαφής, οὗ τὸ οὐδέτερον πληθυντικὸν οὐκ ἔχει συνέμπτωσιν ἐν τῷ σάφα· τῷ μέντοι οὐδαμῶς παράκειται τὸ οὐδαμός; Hrd. ap. Ep. ad A 6A = Ep. Hom. π 11 πρῶτα: ἐπίρρημα μεταχθὲν ἀπὸ οὐδετέρου. ἰστέον δὲ ὅτι τὰ ἐπιρρήματα μεταγόμενα ἀπὸ οὐδετέρων τὸν αὐτὸν τόνον θέλουσι φυλάττειν. τὸ σάφα παρὰ τὸ σαφέα, συγκοπῇ τοῦ ε· καὶ ἐκ τοῦ ὠκέα, ὦκα. σεσημείωται κατὰ τόνον τὸ σφόδρα· τοῦ ὀνόματος ὀξυνομένου, τὸ ἐπίρρημα βαρύνεται, vid. et locos a Dyck allatos; Ep. Hom. ω 4, ubi tamen doctrina Herodianea in ll. 24–6 deformata legitur; de formatione adverbiorum πύκα, ὦκα, σάφα, vid. et Ep. Hom. π 144; alio canone accentum horum adverbiorum comprehendit Ioh. Alex. infra § **149** **4** θαμά] ab θαμός derivat θαμά Ep. ad A 52f, l. 93 τὸ δὲ θαμὰ ἐκ τοῦ θαμός θαμή θαμόν· καὶ θαμὰ ἐπίρρημα, unde Et. Gud. 254.28 = Et. Gud. 191.12 K.; Et. Gen. s.v. α 577 ... τὸ δὲ θαμά γέγονεν οὕτως· ἔστι θαμός... καὶ τὸ οὐδέτερον θαμόν, ἡ εὐθεῖα τῶν πληθυντικῶν θαμά καὶ τὸ ἐπίρρημα θαμά ..., vid. et locos ab L.—L. allatos; ab θαμέα originem habere θαμά dicit Ap. Dysc. adv. 152.27; de θαμά adverbio vid. etiam Hrd. ap. sch. δ 686a

1 στενάχοντο V: στενάχωντο A: στενάχοντα Homerus (error Iohanni potius quam librario imputandus esse mihi videtur) | φυλάξαν Bloch: φυλάξας V: φιλάξας A **2** ἀποβολῇ A: ἀποβολὴν V | ἀποβολῇ…πεποιηκὸς] ἀποβολὴν (ex V) τοῦ ν πεποιηκὸς (vel πεπονθός) Egenolff[2] 244 **2–3** βαρύνεται V: βαρ^υ A **4** ὀξύνεται V: ὀξ^υ A

τοῦ *θαμός* ὀξυτόνου. (10–11) «καλὰ γράφεις καὶ ταχύτατα διαλέγῃ». (12a) ἀπὸ τοῦ *ἐτεός* ὀξυτόνου ⟨*ἐτεόν* ὀξυτόνως⟩· «ἀλλ' ἐτεὸν μὲν ἀεικότες» (SH fr. adesp. 1128). καὶ (12b) *ἐτεά*. καὶ (13) ἀπὸ τοῦ *ἐτός* πάλιν ὀξυτόνου *ἐτά* ὀξυτόνως· «ὡς ἐτὰ Τημενίδος χρύσεον
5 γένος» (Call.? fr. 780 Pf.). καὶ ἐπὶ πάντων ὁμοίως.

133. Τὰ εἰς -*η* μετὰ τοῦ *ι* εἴτε ἀπὸ δοτικῶν εἴη εἴτε θεματικὰ ἢ βαρύνεται ἢ περισπᾶται, οὐδέποτε δὲ ὀξύνεται. περισπᾶται μὲν

1 καλὰ] Ap. Dysc. adv. 155.10 (supra); Hrd. ap. sch. Β 155a (supra); Ep. Hom. υ 1 ... τὰ εἰς -α λήγοντα οὐδέτερα, εἰ μὲν μετὰ ὀνόματος συντεθῇ, ὀνόματά εἰσιν, οἷον «καλὰ γράμματα», «καλὰ περιβόλαια». εἰ δὲ μετὰ ῥήματος συνταγῇ, ἐπιρρήματά εἰσιν, οἷον «καλὰ γράφει» ἀντὶ τοῦ καλῶς καὶ «καλὰ ἀναγινώσκει» ἀντὶ τοῦ καλῶς.., vid. et testim. a Dyck collecta; de καλά adverbio vid. etiam Hrd. ap. sch. δ 686a | ταχύτατα] adverbio ταχύτατα utitur Ap. Dysc. adv. 169.5 **3** ἐτεά] cf. Et. Gud. 545.17 Stef. ἐτεά· ... ἔστι δὲ ὄνομα οὐδέτερον καὶ ἐπίρρημα ἀπὸ ἀρσενικοῦ τοῦ ἐτεός, vid. et testim. **3–5** καὶ[2]...γένος] Hrd. ap. sch. Σ 410d ... μήποτε οὖν ὀφείλομεν πείθεσθαι τῷ Φιλοξένῳ (fr. 578 Theodoridis)· φησὶ γὰρ αὐτὸ (scil. vocem αἴητον) σύνθετον εἶναι παρὰ τὸ ἐτός, ὡς θετός, ὃ σημαίνει τὴν ὕπαρξιν, ἐξ οὗ τὸ ἀληθές, ὃ καὶ γίνεται ἐτεός. ἐγένετο δὲ καὶ τὸ πληθυντικὸν οὐδέτερον ἐν ἐπιρρηματικῇ τάξει· «ὡς ἐτὰ Τημενίδος χρύσεον γένος» (Call. fr. inc. 780 Pf.)...; de ἐτός oxytono vid. Theogn. 50.31 (can. 273) **6–120,3** Τὰ... Ἀττικοῖς] exempla Catholicae servat Theogn. 155.4 (can. 933) haecce: Τὰ ἀπὸ τῶν εἰς -ως ἐπιρρημάτων ἢ καὶ ἀπὸ δοτικῆς τῆς ⟨εἰς⟩ (addidi) -η ληγούσης παραγόμενα (scripsi: προαγόμενα cod.) ἐπιρρήματα διὰ τοῦ -η- γράφονται, οἷον διχῶς διχῇ, πάντως πάντῃ, ἄλλως ἄλλῃ, σιωπῇ, ἐνωπῇ (διχῇ, πάντῃ scripsi: sine iota ineffabili cod.); Ap. Dysc. adv. 151.4 adverbia qualia δημοσίᾳ, ἰδίᾳ, οὐδαμῇ, ἄλλῃ, ταύτῃ, τῇδε ab dativis, non a nominativis, ducta esse explicat; de iota subscripto, cf. Et. Gen. α 593 cum locis similibus, Ep. Hom. η 13, cum testim.; de ὁμαρτῇ cf. etiam Hrd. ap. sch. Ε 656b[2] ὁ μὲν Ἀρίσταρχος τὸ ἁμαρτῇ χωρὶς τοῦ ι γράφει καὶ ὀξύνει, οἱ δὲ περὶ Ἡρωδιανὸν περισπῶσι καὶ προσγράφουσι, παρὰ τὸ ἅμα καὶ τὸ ἀρτῶ περισπώμενον. οὕτως δὲ αὐτὸ καὶ ἡ συνήθεια δέχεται, καὶ τοῦτο ἐπεκράτησεν; ibid. 656a et 656b[1]; vid. et locos ad sch. Ε 656a ab Erbse congestos; de adverbiis in -χῇ cf. § **136** (fin.) et Theogn. 160.28 (can. 972) Τὰ εἰς -χη λήγοντα ἐπιρρήματα διὰ τοῦ -η γράφεται προσκειμένου καὶ τοῦ ι καὶ περισπᾶται, οἷον διχῇ, τριχῇ (τριχῆ cod.), τετραχῇ, ἀλλαχῇ, μοναχῇ, ἡσυχῇ

1 καλὰ γράφεις scripsi coll. Ep. Hom. υ 1, l.5: καλλιγραφεῖς AV **2** ἐτεός scripsi: *ἐτεόν* AV | ἐτεόν ὀξυτόνως addidi **3** ἀεικότες] corruptum; ἐοικότες Lentz 488.17 | ἐτεά V (coni. Bloch): ἐτέα A **6** -η A: ἢ V | θεματικά V (hoc commendat Egenolff[2] 244): θαυμαστικὰ A **7** δὲ A: om. V | ὀξύνεται Dindorf: ὀξ[υ] A: ὀξύνονται V

διπλῇ καὶ *τριπλῇ*, *πεζῇ*, *πῇ*, *ὁμαρτῇ* ⟨καὶ πάντα τὰ εἰς -χη⟩. βαρύνεται δὲ *πάντη*, *ἄλλη*, *ταύτη*. τοιοῦτό ἐστι καὶ τὸ *ἀμηγέπη* παρ' Ἀττικοῖς.

134. Τὸ *ἤδη* τῶν βαρυτονουμένων χωρὶς τοῦ *ι* γράφεται καὶ τὸ *νύνδη*, ὅτε σημαίνει τὸ *πρὸ ὀλίγου ἐστί*. τὸ δὲ *μή* ἀπαγορευτικὸν καὶ *νή* καὶ ⟨*φή*⟩, «φὴ νέος οὐκ ἀπάλαμνος» (Call.? fr. 737 Pf.), χωρὶς τοῦ *ι* γράφεται καὶ ὀξύνεται. καὶ τὰ καθαρεύοντα μὴ δηλοῦντα χρόνον ὀξύνεται, οἷον *ἰή*, *ὠή*, *ἰωή*. Ὥστε λοιπὸν εἴ τι εἰς -*η* λήγει καὶ ἐπὶ τέλει τὸν τόνον ἔχει, τοῦτο καὶ περισπᾶται καὶ τὸ *ι* ἔχει προσγραφόμενον.

4–8 Τὸ…ἰωή] exempla Herodianea ap. Theogn. 160.22 (can. 970) Τὰ εἰς -η λήγοντα δισύλλαβα ἐπιρρήματα ἀπρόσληπτα τοῦ ι καὶ ἔχοντα σύμφωνον πρὸ τοῦ -η σπάνια καὶ εὐαρίθμητα. ἔστι γὰρ τὸ ἤδη, ὃ τοὺς τρεῖς χρόνους ὑπισχνεῖται, ἐνεστῶτα, παρωχημένον καὶ μέλλοντα· νύνδη (scripsi: νῦν· δή· cod.), ὃ δηλοῖ τὸ πρὸ ὀλίγου καὶ τὸ ἄρτι; ibid. 160.27 (can. 971) Τὰ εἰς -η λήγοντα καθαρὸν (καθαρὸν quod est in codice neglexit Cramer; vid. Schneider[2] 19) ἐπιρρήμματα ⟨δισύλλαβα⟩ (addidi) δύο μόνα ἐστίν· ἰή, ὠή (scripsi: ἴη ὤη cod.); de orthographia (sine iota) accentuque cf. Et. Gen. α 593, ubi de multis adverbiis sermo est: ἤ, φή, μή, νή, ἰή, ὠή, ἰωή, ἤδη, νῦν δή, δηλαδή, βῆ (ὅπερ περισπᾶται τῶν ἄλλων τῶν μὴ ἐχόντων τὸ ι μὴ περισπωμένων), ἀκαρῆ, ἁμαρτή/ἁμαρτῆ/ὁμαρτῆ, vid. et locos a L.–L. allatos; cf. etiam Ep. Hom. η 13, cum testim. et Eust. Il. I 267.1; de νύνδη cf. etiam sch. λ 160 ἦ νῦν δὴ Τροίηθεν] τινὲς ὡς ἓν μέρος λόγου παροξύνουσιν, ἀντὶ τοῦ ἀρτίως, ὁμοίως τῷ «οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος» (ω 260); de eius significatu, Tim. Soph. ν 4 νῦν δή· πρὸ ὀλίγου χρόνου {ἡμῖν}; de μή, νή, φή vid. et § **142**

1 καί[2]…-χη addidi coll. § **136** (fin.) et Theogn. 160.28 (can. 972) **2** τοιοῦτό V: τοιοῦτος A **3** ἀμηγέπη V: ἀμηγέτη A; spiritu leni in utroque codice **5** νύνδη scripsi: νῦν δὴ AV | ὀλίγου V: ὀλίγον A **6** νή A: νη V | φή add. Lentz 489.9 φὴ A: φη V **8** ἰωή Bloch (contuli Et. Gen. α 593 (p. 379.1 ἔστι δὲ καὶ τὸ ἰωή, σχετλιαστικὸν ἐπίρρημα) unde EM α 1025 (p. 379.26): ἰώ AV

135. Καὶ τὸ *ἰδίᾳ* δὲ καὶ *δημοσίᾳ* ἀπὸ δοτικῆς γέγονε καὶ τὸ *κάρᾳ* παρ' Ἀθηναίοις· «κατωκάρᾳ ῥίψας με βουκολήσεται» (Ar. Pac. 153).

136. Ἔστι τινὰ καὶ παρὰ αἰτιατικὴν γεγονότα, οἷον (1) τὸ *πέραν* καὶ *πέρην* Ἰωνικῶς, ἀπὸ τοῦ *ἡ πέρα, τῆς πέρας, τῇ πέρᾳ, τὴν πέραν* καὶ *πέρην*· «ἀλλ' ὅσοι ναίουσι ⟨πέρην⟩» (SH fr. adesp. 1129 = Call. fr. anon. 284 Schn.)· καὶ μετὰ προθέσεως «ἀντιπέρην λεύσ⟨σ⟩ουσα πυρὸς σέλας» (A.R. 4.68) καὶ ἀπὸ δοτικῆς· «ἐπίσχες αὐτοῦ· μὴ πέρᾳ προβῇς λόγου», Κρατῖνος ἐν Εὐμενίσιν (fr. 69 K.–A.). καὶ (2) τὸ *πρῴην* δὲ παρ' αἰτιατικὴν σχηματίζουσι, «†τῇ δὲ

1–2 Καὶ…βουκολήσεται] δημοσίᾳ et ἰδίᾳ a dativis, non nominativis, provenire demonstrat Ap. Dysc. adv. 151.4; de ἰδίᾳ et δημοσίᾳ vid. Ep. Hom. ε 71 (ad § **132** laudatum) et locos ibi allatos; κάτω κάρα, ὡς δύο μέρη λόγου, ut cum veteribus loquar, vel coniunctim κατωκάρα praebet Eust. Od. II 322.11 Τὸ δὲ κάτω ἔχων κεφαλὴν οὐ ταυτόν ἐστι τῷ ὕστερον παρ' Ἀττικοῖς, κάτω κάρα, ἢ συνθέτως κατώκαρα; compositum κατωκάρα/ᾳ praebent sch. (vet.) Ar. Pac. 153b ἐπίρρημά ἐστι σύνθετον, καὶ σὺν τῷ ι γράφει Ἡρωδιανός; ibid. 153a κατωκάρα: ὅτι τὸ ἐπὶ τῆς κεφαλῆς πεσεῖν οὕτω λέγουσιν Ἀττικοί, οὐ διῃρημένως, ἀλλ' ὑφ' ἓν γράφοντες. Πίνδαρος «οἱ μὲν κατωκάρα δεσμοῖσι δέδενται»; sch. (vet.) Ar. Ach. 945 κατωκάρα: κατὰ κορυφήν· οὕτως δὲ οἱ Ἀττικοὶ ὑφ' ἓν λέγουσιν **5** πέραν] πέραν et πέρην etiam in § **180** laudavit Iohannes; cf. Ep. Hom. ε 71 (supra ad § **132** laudatum, cum reliquis locis ibi allatis); Ep. Hom. δ 25 δηρόν: ὀνοματικὸν ἐπίρρημα· πολλὰ δὲ εἰσι τοιαῦτα, ὥσπερ ἡ πέρα τῆς πέρας καὶ «πέραν τοῦ χειμάρρου τῶν Κέδρων» (Ev. Ioh. 18.1) καὶ πρώϊος πρωΐα καὶ ἡ αἰτιατικὴ πρωΐαν καὶ τροπῇ †Βοιωτικῇ (scribe Ἰωνικῇ cum De Stefani ad Et. Gud. 355.3) πρωΐην, ἐξ οὗ καὶ τὸ ἐπίρρημα πρῴην ..., vid. et locos a Dyck allatos; Eust. Il. I 474.24 et alibi **10** πρῴην] Theogn. 154.32 (can. 932) ... πρῴην (Cramer: πρωΐην cod.), ὅπερ ἐκ τῆς προ προθέσεως γέγονεν προΐα, ἐξ οὗ (post οὗ dedit καὶ Cramer,

2 κάρᾳ Lobeck[2] I 589: κάρα, sine iota, AV: ⟨κατω⟩κάρᾳ Lentz 489.14 coll. sch. Ar. Pac. 153b; Lentzii coniectura vera esse non potest, eoque magis quod, si vera, adverbium κατωκάρᾳ inter composita capituli § **137** collocandum Ioh. Alex. curavisset | κατωκάρᾳ hyphen Lobeck[2] I 589 (cf. locos similes supra laudatos; de simplicis κάρᾳ et compositi κατωκάρᾳ collocatione cf. infra § **143** ᾧ / ᾧτε, § **144** οἷ / οἷπερ et § **154** λοφάδεια / καταλοφάδεια): κάτω κάρα AV, seiunctim, sine iota **4** αἰτιατικὴν scripsi: αἰτιατικῆς AV, vitium e praegressis verbis § **135** ἀπὸ δοτικῆς γέγονε natum **5–6** Ἰωνικῶς…πέρην[1] V: om. A propter homoeoteleuton **6** πέρην[2] add. Dindorf praef. xiii **8** λεύσσουσα restitui **9** μὴ πέρᾳ V (distinxit Lentz 490.3): μηπέρα A[p.c.]: μητέρα A[a.c.] | Κρατῖνος V: Κρατίνος A | Εὐμενίσιν scripsi: Εὐμένισιν A: Εὐμενισιν sine accentu V

πρῷαν†» καὶ (3) τὸ «*ἀκὴν* ἐγένοντο σιωπῇ» (Γ 95) καὶ (4) «*ἀκμήν* τοι βρύα τῆμος ἐπὶ στήθεσσι κέχυνται.» (Call.? fr. 781 Pf.; fort. Call. Aet. III aut IV fr. 281 Massimilla). ὡς παρὰ *ἀεικές* ὄνομα ⟨ὀξύτονον⟩ ὀξύτονον ἐπίρρημα (5) τὸ «οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρῃ /

quod tamen non est in cod.) ἡ αἰτιατικὴ προΐαν, καὶ ἐκτάσει τοῦ -ο- εἰς -ω- πρωΐαν, καὶ Ἰωνικῶς πρωΐην, καὶ κατὰ συναίρεσιν τοῦ -ω- καὶ -ι- εἰς τὴν -ωι- δίφθογγον, πρῴην; cf. Ep. Hom. δ 25 (supra) et locos hinc pendentes
1 ἀκὴν] cf. Ep. Hom. α 184 ἀκήν (Γ 95): ... τὸ κην η· τὰ ἀπὸ διαφόρων πτώσεων εἰς ἐπιρρηματικὴν σύνταξιν μεταγόμενα τὴν αὐτὴν ταῖς πτώσεσι φυλάττει γραφήν, οἷον τὴν ἀπριάτην «ἀπριάτην ἀνάποινον» (Α 99)· οὕτως καὶ τὴν ἀκήν καὶ ἀκήν τὸ ἐπίρρημα, vid. et locos a Dyck allatos; Et. Gen. α 337 (p. 218.14); EM 424.7 | ἀκμήν] huius adverbii mentionem facit Iohannes etiam in § **182**
3–124,1 ὡς…παροξύνεται] (5) ἀεικές, (6) ἐπιεικές, (7) συνεχές accusativi sunt singulares neutrius generis in adverbialem syntaxin translati; canon prosodiacus ad hos pertinens est hic: quaecunque adverbia forma cum accusativis neutris singularibus conveniunt, etiam accentu cum eis conveniunt; notabilia igitur sunt apud Athenienses adverbia (8) ἄληθες, (9) ἐπίτηδες, (10) αὐτόετες, (11) χάριεν: cf. Ep. Hom. ε 79 (ubi tamen nominativi plurales neutri, quales ἐπιδέξια, ἐνδέξια, cum accusativis singularibus neutris, ἐπιεικές simil., confunduntur) ἐπιδέξια (Β 353): ... κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι τὰ ἀπὸ ὀνομάτων εἰς ἐπιρρηματικὴν τάξιν μεταγόμενα ὁμότονα τοῖς ὀνόμασι καθέστηκεν, οἷον ἐπιεικές, «ὡς ἐπιεικές» (Ψ 50), συνεχές, διαμπερές, ἀτρεκές. τὸ δὲ (8) ἄληθες ἀντὶ τοῦ ἀληθῶς παρὰ Ἀττικοῖς οὐχ ὁμοτόνως· ὁμοίως καὶ τὸ ἐπάναγκες καὶ τὸ (11) χάριεν, οἷον «χάριεν διελέχθη ὁ ἄνθρωπος» ἀντὶ τοῦ χαριέντως, vid. et testim. a Dyck allata; exempla e Catholica petita praebet Theogn. 155.11 (can. 935) Τὰ εἰς -ες ἐπιρρήματα ἀπὸ αἰτιατικῆς (scripsi: κλητικῆς cod.) εἰς ἐπιρρηματικὴν σύνταξιν ἐλθόντα, διὰ τοῦ ε ψιλοῦ γράφονται, οἷον (9) ἐπίτηδες, (8) ἄληθες (Cramer: ἀληθες cod.), αὔταρκες (scripsi: αυταρκες cod.: αὐτάρκες Cramer: ἀτρεκές Lentz 490.12), (5) ἀεικές (Cramer: αεικες cod.); ibid. 163.1 (can. 986) τὸ δ' (8) ἄληθες (recte, cod.), (9) ἐπίτηδες ὀνοματικὰ (scil. ἐπιρρήματα) καὶ βαρύτονα; Ap. Dysc. adv. 160.20 ἀνεκάς (ὅπερ Ἀττικοὶ οὐ δεόντως ἀναβιβάζουσιν, ὡς καὶ ἐν ἑτέροις ἐπιρρήμασι, (11) χάριέν φασι καὶ (8) ἄληθες, καθὼς δείκνυμεν καὶ ἐπὶ τοῦ (12) σφόδρα ('eius generis expositionem in Ap. scriptis non exstare monet Dronke' Schneider ad loc.); EM 366.26 Δεῖ γινώσκειν ὅτι ὅτε μὲν λέγεται ἐπιτηδές καὶ ἀληθές ὀξυτόνως ὀνόματά εἰσιν· ὅτε δὲ βαρυτόνως (9) ἐπίτηδες καὶ (8) ἄληθες ἐπιρρήματά εἰσιν, ἀντὶ τοῦ ἐπιτηδείως καὶ ἀληθῶς; infra plures locos de (8) ἄληθες, (9) ἐπιτηδές, (10) αὐτόετες, (11) χάριεν, (12) σφόδρα offendes

10–122,1 τῇ…πρῷαν] corruptum (*πρῴαν* Dindorf praef. xiii); fortasse affertur Theoc. 15.15, cf. vocabulum ἀπφῦς § **36** quod item ap. Theoc. 15.15 laudatur
1 ἐγένοντο V (restituit Dindorf): ἐγένετο A **2** βρύα τῆμος divisit Bloch praef. xiii: βρυάτημος AV | ἐπὶ στήθεσσι divisit Dindorf: ἐπιστήθεσσι AV | κέχυνται A: κέχηνται V **3** ὀξύτονον addidi **4** οὔ V: οὐ A | πάτρῃ V: πάτρη A

τεθνάμεν» (Ο 496–7) καὶ (6) τὸ «*ἐπιεικὲς* ὀπυιέμεν ἐστὶν ἑκάστῳ» (β 207) καὶ (7) τὸ «ὗε δ' ἄρα Ζεύς / *συνεχές*» (Μ 25–6), οὕτως ἔδει καὶ παρὰ τὸ (8) *ἀληθές* ὄνομα τὸ ἐπίρρημα ὀξύνεσθαι, ἀλλὰ καὶ παρ' Ἀθηναίοις διαστολῆς ἔτυχεν· καὶ ἐπὶ μὲν τοῦ ὀνόματος ὀξύνεται,
5 ἐπὶ δὲ τοῦ ἐπιρρήματος βαρύνεται· «ἄληθες, ὦ παῖ τῆς ἀρουραίας θεοῦ;», Ἀριστοφάνης ἐν Βατράχοις (840)· καὶ ἐν Νεφέλαις (840–1), «τί δ' ἂν καὶ παρ' ἐκείνων καὶ μάθοι χρηστόν τις; / ἄληθες, ὅσαπέρ ἐστι παρὰ τοῖς ἀνθρώποις σοφά». τοιοῦτόν ἐστι καὶ τὸ (9) *ἐπιτηδές* ὀνοματικῶς ὀξυνόμενον, ἐπιρρηματικῶς προπαροξυνόμενον καὶ τὸ
10 (10) *αὐτοετές* ὁμοίως. καὶ τὸ (11) *χάριεν* δὲ παρ' αὐτοῖς προπα-

5 ἄληθες] praeter locos supra laudatos cf. etiam sch. Ar. Ra. 840b ἄληθες, ὦ παῖ: βαρυτονητέον τὸ «ἄληθες»; Amm. 26 ἀληθὲς καὶ ἄληθες διαφέρει. ἀληθὲς μὲν γὰρ ὀξυτόνως τὸ ἐναντίον τῷ ψεύδει, ἄληθες δὲ προπαροξυτόνως τὸ κατ' ἐπερώτησιν λεγόμενον, vid. et locos a Nickau congestos; Σ^b α 859 ἄληθες· ὅταν ἡ πρώτη ὀξύνηται, σημαίνει τι ἐν ἐπερωτήσει λεγόμενον, οἷον ὄντως, ἀληθῶς, vid. et locos a Cunningham allatos; Mich. Sync. 1460 **8** ἐπιτηδές] de ἐπιτηδές nomine vid. supra § **66**; sch. A 142c ab Herodiano iure abiundicandum censet Erbse **10** αὐτοετές] cf. sch. Od. γ 322b1 αὐτόετες: ἀντὶ τοῦ αὐτοέτως, ὅ ἐστι δι' ὅλου τοῦ ἔτους; de eius accentu cf. Eust. Od. I 115.19 Ἔνθα καὶ ὅρα τὸ πεντάετες καὶ ἑξάετες, καθ' ὁμοιότητα παραχθέντα τοῦ τρίετες περὶ οὗ προγέγραπται (I 86.22, mox proferam) καὶ τοῦ αὐτόετες ὃ ἐν τοῖς ἑξῆς που λεχθήσεται. καὶ τοῦ εἰνάετες ὃ μετ' ὀλίγα κεῖται παρὰ τῷ ποιητῇ; ibid. I 86.22 Τὸ δὲ τρίετες ὥσπερ καὶ τὸ τετράετες καὶ τὰ ὅμοια προπαροξύτονα, χρόνου εἰσὶ δηλωτικὰ οἷα χρονικὰ ἐπιρρήματα. τὸ μέντοι τριετές ἢ τετραετές οἷον παιδίον ἢ ἄλλό τι, ὀξύνονται πρὸς διαφοράν | χάριεν] praeter locos supra memoratos, cf. etiam Theogn. 119.12 (can. 723) Τὰ εἰς -εν λήγοντα οὐδέτερα ἀπὸ ἀρσενικοῦ γεγενημένα, εἴτε ὀνόματα εἴτε μετοχαὶ διὰ τοῦ ε ψιλοῦ γράφονται, καὶ ὁμοτονεῖ τῇ κλητικῇ τοῦ ἀρσενικοῦ· τὸ χαρίεν, ὦ χαρίεν· τὸ γὰρ προπαροξύτονον ἐπίρρημά ἐστιν; Ioh. Philop. de voc. χ 2 (rec. B) χάριεν· ἀντὶ τοῦ χαριέντως προπαροξύνεται, χαρίεν· τὸ ἐπιχαρὲς παροξύνεται (unde Su. χ 104); ibid. χ 1 (rec. C), χ 1 (rec. D); Choer. I 211.30 ἰστέον δὲ ὅτι παρὰ τοῖς Ἀττικοῖς χάριεν προπαροξυνόμενον οὐκ ἔστιν ὄνομα ἀλλ' ἐπίρρημα, ἀντὶ γὰρ τοῦ χαριέντως; Eust. Il. III 935.16; EM 807.15 Χάριεν: Τὴν τρίτην ἀπὸ τέλους ὀξύνει. Ἡρωδιανός; ('quod de adverbio intellegendum esse patet et ex nostro loco et ex Theognosto' Lentz ad 490.19); χάριεν adiectivum fuit scholiastae Ar. Pl. 145 χάριεν] οἱ Ἀττικοὶ πρὸ δύο ἀναπέμπουσι, τὸ δὲ πρὸ

2 ὗε Dindorf praef. xiii: ὕε V: ὑὲ A **3** ἀληθές A: ἄληθες V **5** ἄληθες V (iam Dindorf praef. xiii): ἀληθὲς A | ἀρουραίας V (iam Dindorf): ἀρουρέας A **6** ἐν[1] V: om. A **7** ἐκείνων A: ἐκείνω V | καὶ[2] A: om. V **8** τοιοῦτόν V: τοιοῦτο A **10** αὐτοετές A: αὐτοετὸς V | δὲ A: om. V **10–124,1** προπαροξύνεται V: προπαροξυνόμενον A

ροξύνεται, ὅτε καὶ ἐπιρρηματικῶς λέγεται, ὄνομα δὲ ὂν παροξύνεται. καὶ τὸ (12) *σφόδρα* βαρύνεται ἐπίρρημα ὄν, ὄνομα δὲ ὂν ὀξύνεται. καὶ τὸ (13) *ἠρέμα* παροξύνεται ἐπίρρημα ὂν δέον προπαροξύνεσθαι ὡς καὶ τὸ *ἥσυχα*, πλὴν εἰ μὴ παρὰ τὸ *ἠρεμῶ* γέγονεν, ὡς *ἀτρεμῶ ἀτρέμα*. (τό τε *ἡσυχῇ* περισπᾶται ⟨παραλόγως, πλὴν⟩ 5 εἰ μὴ συνεξέδραμε τοῖς εἰς -*χη* ἐπιρρήμασι περισπωμένοις, *τριχῇ*.

μιᾶς κοινόν· «χαρίεν» (unde Su. χ 103); Tryphoni χάριεν utrum adiectivum an adverbium fuerit incertum: Tryph. fr. 15 (=Amm. 405 Nickau, cuius textum sequor) «... χαίρουσι (scil. οἱ Ἀττικοί) γὰρ τῇ βαρύτητι. ἄδελφε γοῦν λέγουσι τὴν πρώτην ὀξυτονοῦντες, ὡς ἄπελθε», φησὶν ὁ Τρύφων, παρατιθέμενος Φιλήμονα τὸν †ἀγξωνέα†, «†ὡς† Θεττάλην ὡς Μυρτάλην· καὶ χάριεν, τὴν πρώτην συλλαβὴν ὀξυτονοῦντες...»
2 σφόδρα] praeter locum supra laudatum cf. etiam Hrd. ap. Ep . ad A 6A, ll. 54–7 = Ep. Hom. π 11 ... σεσημείωται κατὰ τόνον τὸ σφόδρα· τοῦ ὀνόματος ὀξυνομένου, τὸ ἐπίρρημα βαρύνεται, vid. et locum a Dyck allatum (operae pretium est notare epimeristam in parte quam omisi nominativos plurales neutros πρῶτα, σάφα, ὦκα afferre, hic tamen accusativum σφόδρα) **3–4** ἠρέμα... ἥσυχα] ἠρέμα cur paroxytonum sit legas infra § **155** **4–5** πλὴν... ἀτρέμα] ἠρέμα ab ἠρεμῶ ductum esse docet Philox. fr. 25 = Et. Or. 157.6 (unde Ep. ad A 148) ... καὶ ὡς ἐγένετο ἀπὸ τοῦ μίσγω μίγδα καὶ ἠρεμῶ ἠρέμα, οὕτω καὶ ... (unde fortasse Ap. Dysc. adv. 139.10); regulam legimus ap. Ap. Dysc. adv. 151.30 Τὰ εἰς -α λήγοντα ἐπιρρήματα ἢ ὀξύνεται, ὡς δηθά, καναχηδά, πυκνά, ἢ βαρύνεται, ὡς τάχα, λίγα, ἄντα, πρῶτα. τὰ πρωτότυπα μόνως βαρύνεται, αἶψα, αὐτίκα, ὄφρα, ῥίμφα, μάλα, μέσφα, καὶ ὅσα παρ' ἐνεστῶτας τῶν ῥημάτων ἀποτελεῖται, ἠρεμῶ ἠρέμα, μίγω μίγα, ἀντῶ ἄντα, μινύθω μίνυθα (καὶ μετὰ περισσοῦ τοῦ ν μίνυνθα), ῥέω ῥέα ... σιγῶ σῖγα, ἀτρεμῶ ἀτρέμα; Hrd. ap. Et. Gen. α 933 ... ἢ παρὰ τὸ ἀντῶ ἄντα, ὡς ἠρεμῶ ἠρέμα καὶ σιγῶ σίγα. Ἡρωδιανὸς ἐν τοῖς Περὶ παθῶν (II 247, 14), vid. et locos a L.-L. laudatos; vid. etiam Ep. Hom. α 45 (de ἀτρέμα et ἠρέμα) cum testim.; alibi **5–125,1** ἡσυχῇ... πενταχῇ] de ἡσύχη/ἡσυχῇ disserit Ap. Dysc. adv. 175.1; de adverbiis in -χῇ vid. ad § **133**

1 παροξύνεται A (per compend. παροξ^ύ): παροξύτονον V **3** ἠρέμα V (iam Dindorf): ἡρέμα A **4** ἠρεμῶ V (iam Dindorf): ἡρεμῶ A **5** ἀτρεμῶ A: ἀτρεμῶ καὶ V | ἡσυχῇ] sic cum iota AV | παραλόγως πλὴν] exempli gratia supplevi (παραλόγως iam Lentz 490.24); possis etiam ⟨δέον παροξύνεσθαι, πλὴν⟩; cf. Ap. Dysc. adv. 175.1–24 **6** συνεξέδραμε V: συνεξέδραμεν A (terminatio -εν per compend. scripta) | -χη V: χη A

πενταχῇ). καὶ τὸ (14) *αὐθημερόν* ὀξύνεται ἀπὸ τοῦ *αὐθήμερος* προπαροξυνομένου.

137. Ἔστι τινὰ σύνθετα ἀναβιβάζοντα τὸν τόνον, ὡς τὸ *παντάπασι*, *πάμπαν*. τὰ παρὰ τὸ *ἦμαρ* συντιθέμενα φυλάττει τοῦ
5 ἁπλοῦ τὸν τόνον· *αὐτῆμαρ*, *ἐννῆμαρ*.

138. Τὰ μὲν οὖν ἐξ ὀνομάτων γενόμενα ἐπιρρήματα τοιαῦτά ἐστι· λοιπὸν καὶ περὶ τῶν θεματικῶν λεκτέον.

139. Πᾶν μονοσύλλαβον ἐπίρρημα, εἰ μὲν ἔχει φύσει βραχεῖαν, δῆλον ὡς ὀξύνεται· *πάξ*, *μάψ*, *λάξ*, *χθές* καὶ εἴ τι ὅμοιον.

10 **140.** Τῶν δὲ μακρὰν ἐχόντων φύσει τὰ μὲν περισπᾶται, τὰ δὲ ὀξύνεται. τὰ πυσματικὰ περισπᾶται· *πῇ*, *ποῦ*, ⟨*πῶ*⟩, *πῶς*.

1 αὐθημερόν] Choer. Ep. Ps. 89.28 Τὰ εἰς ΟΝ λήγοντα ἐπιρρήματα παραληγόμενα τῷ Ι ἢ τῷ Ε βαρύνονται, οἷον σήμερον, αὔριον, πλὴν τοῦ αὐθημερόν καὶ ἐξόν [ὑπεσταλμένων] (delevi) τῶν ὀνοματικῶν· τὸ αὐθημερόν παρώνυμον, τὸ ἐξὸν μετοχή, unde Et. Gud. 499.36 **4** πάμπαν] vid. etiam § **180** **5** αὐτῆμαρ ἐννῆμαρ] Hrd. ap. sch. A 81 αὐτῆμαρ: ἐπίρρημα ὡς καὶ τὸ «ἐννῆμαρ» (A 53 al.) καὶ «ἐξῆμαρ» (κ 80 al.). καὶ ἐχρῆν μὲν αὐτὰ ἀναπέμπειν τὸν τόνον ὡς βούκερως. ἀλλ' ἐπεὶ οὐδὲν τῶν εἰς -αρ συντέθειται ἢ μόνον τὸ ἦμαρ, πρὸς τὴν παρηλλαγμένην σύνθεσιν ἦν παρηλλαγμένος καὶ ὁ τόνος. δεῖ δὲ εἰδέναι ὡς μετὰ ἀκλίτων τίθενται; vid. etiam Hrd. ap. sch. A 53a et ap. Ep. ad A 53A (ll. 24 sqq.) aliaque testim. ibi laudata; Theogn. 162.25 (canonem 984 ubi grammaticus de adverbiis simplicibus primigeniis, non denominativis, in -ρ desinentibus disserit) ... περὶ γὰρ τοῦ αὐτῆμαρ, ποσσῆμαρ, ἐννῆμαρ, οὐδεὶς λόγος· σύνθετα γὰρ παρώνυμά εἰσιν **6** Τὰ…ἐστι] vid. §§ **131**–**137**; apparent nonnulla denominativa adverbia et inter primigenia: §§ **180**, **182**, **188**; vid. etiam app. crit. ad § **184** **11** τὰ…πῶς] Ap. Dysc. adv. 172.20 τὰ πύσματα ἢ φύσει θέλει βαρύνεσθαι ἢ δυνάμει. τὰ γοῦν ὑπὲρ μίαν συλλαβήν, ἔχοντα τόπον τῆς βαρείας, πάντα βαρύνεται· τὰ δὲ μονοσύλλαβα, οὐ δυνάμενα ἐκτὸς τῆς ὀξείας γενέσθαι, δυνάμει ἐβαρύνθη περισπασθέντα (huc spectat Choer. I 388.12); Theogn. 155.21 (can. 937 ubi de adverbiis monosyllabis in -η/-ῃ agitur) ... πῇ τὸ ἐρωτηματικόν, καὶ αὐτὸ περισπώμενον, καὶ σὺν τῷ ι; ibid. 155.26 (can. 938) Τὰ εἰς -οι λήγοντα ἐπιρρήματα μονοσύλλαβα δύο εἰσίν· τὸ ποῖ πευστικὸν καὶ τὸ οἷ (scripsi: οἶ cod.) τοπικόν. ἀμφότερα δὲ περισπᾶται

3 ἀναβιβάζοντα A: ἀναβιβάσαντα V **4** πάμπαν V (coni. Dindorf): πάνπαν A τὰ A: *ὰ V, lit. τ a rubr. neglecta | ἦμαρ A: ἧμαρ V | φυλάττει A: φυλάττουσι V **8** Πᾶν A: *ᾶν V, lit. π a rubr. omissa | ἔχει V (coni. Bloch): ἔχῃ A | βραχεῖαν Dindorf: βραχείαν AV **10** Τῶν A: *ῶν V, lit. τ a rubr. omissa | μακρὰν Dindorf: μακρῶν AV **11** ὀξύνεται Dindorf: ὀξ[υ] A: ὀξύνονται V | τὰ A: *ὰ V, lit. τ a rubr. omissa | πῶ addidi; cf. paulo inferius «*οὐ γάρ πω τοίους ἴδον*»

ταῦτα δὲ ἀοριστούμενα ἐγκλίνεται· «οὔ πως ἔστ' Ἀγέλαε» (χ 136), «ἀλλά που †ἄλλη», «οὐ γάρ πω τοίους ἴδον» (Α 262). ἐκ δὲ τοῦ *πώ* καὶ τοῦ *μάλα* τὸ *πώμαλα* προπαροξύνουσιν Ἀθηναῖοι καὶ ἔτι τὸ *πώποτε* ἐκ τοῦ *πώ* καὶ τοῦ *ποτέ*.

141. Τὰ ἔχοντα δίχρονον ἐκτεταμένον περισπᾶται· «ἆ δειλέ» (Λ 441 alibi), «⟨ἆ⟩ πάντως, ⟨ἵν⟩α γῆρας» (Call. fr. 1.33 Pf.). καὶ τὸ *βᾶ* ἐν 5

1–2 ταῦτα…ἴδον] cf. Ap. Dysc. adv. 126.20 τὰ γὰρ ἀοριστούμενα (scil. ἐπιρρήματα qualia πως, που) ἐγκλιτικά ἐστι; id. synt. 439.5 Ἔστι δὲ καὶ ὑπὲρ τῆς ἀμειβομένης τάσεως κατ' αὐτὰς φάναι, ὡς τὸ πρῶτον καὶ ἐν ἄλλοις μέρεσι τοῦ λόγου ἐξαίρετά τινα παρέπεται … ὥς γε ἔστιν ἐπινοῆσαι ἐπὶ τῶν ἐγκλιτικῶν μορίων καὶ ἔτι ἐπὶ τῶν πυσμάτων κατὰ βαρεῖαν τάσιν καὶ τῶν ἀορίστων κατ' ὀξεῖαν; Hrd. ap. sch. Υ 464a[1] cum testim. **2–4** ἐκ…ποτέ] cf. Eust. Il. I 226.14 τὰ γὰρ ἐγκλινόμενα, εἴ ποτε τόνου κληρονομήσουσιν, ὀξὺν αὐτὸν ἔχουσιν, οἷον· «φημί σοι», «σοί φημι» καὶ τὰ ὅμοια. διὸ καὶ τὸ πώποτε καλῶς δι' ὀξείας ἐκφέρεται τάσεως, ὡς καὶ τὸ πώμαλα. οἱ γὰρ περισπῶντες αὐτὸ δυσαπολογήτως εἰς ἀπόδοσιν αἰτίας ἔχουσι. τὸ γὰρ ἐν ἁπλότητι μὴ περισπώμενον πῶς ἂν ἐν συνθέσει περισπασθήσεται; πώμαλα coniunctim scribendum docet sch. Dem. 19.134a πώμαλα] ὑφ' ἓν ἀναγνωστέον…, vid. et locos a Dilts ibi allatos; de πώποτε coniunctim scripto, cf. Hrd. ap. sch. Α 154 οὐ γὰρ πώποτ': οὕτως ὑφ' ἓν πώποτε Ἀρίσταρχος…, vid. et locos ab Erbse laudatos **5–127,2** Τὰ…ὅμοιον] Choer. Ep. Ps. 95.7 νῦν· ἐπίρρημα χρονικόν. διατί περισπᾶται; Πᾶν ἐπίρρημα μονοσύλλαβον ἔχον δίχρονον ἐκτεταμένον περισπᾶται· νῦν, γρῦ. Καὶ διατί ἐκτείνεται; Ἐπεὶ πᾶν ἐπίρρημα μονοσύλλαβον ἔχον δίχρονον ἐκτείνει αὐτό, οἷον νῦν, γρῦ, βρῦ· τὸ δὲ ῥὰ συστέλλεται ἀποκοπέν; Theogn. 155.28 (can. 939) Τὰ εἰς -υ- μονοσύλλαβα διὰ τοῦ -υ- ψιλοῦ γράφεται (γρ[α] cod.) καὶ περισπᾶται. οἷον, νῦ⟨ν⟩, (-ν addidi), γρῦ, μῦ; de νῦν perispomeno vid. etiam Hrd. ap. sch. Α 421–2 cum testim.

1 ἔστ' Ἀγέλαε restituit Dindorf praef. xiii: ἔσται γέλαε AV **2** που V (iam Dindorf): ποῦ A | ἄλλη A: ἄλλα V: ἄλλη Dindorf: fortasse *αὐτοῦ* (δ 639) | πώ scripsi: πῶ A: πω aut πῶ V **3** πώμαλα V (coni. Dindorf): πώμαλλα A Ἀθηναῖοι A: οἱ Ἀθηναῖοι V **4** πώ scripsi: πῶ AV | ποτέ Lentz 492.4: πότε AV **5** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa **5–6** ἆ…γῆρας] versus Homeri Callimachique restitui (de Homero, cf. Ep. ad A 149A[2b]; ad Callimachum quod attinet, cf. Ap. Dysc. adv. 157.27, Et. Gen. β 23, sch. (Marc.) D. Thr. 431.20 ceterosque locos a Harder in Callimachus Aetia, vol. I, Oxford 2012, p. 120 et a Massimilla in Callimaco Aitia: Libri Primo e Secondo, Pisa 1996, p. 59 congestos): «ἆ δειλὲ πάντων», «ἆ γήρας» AV **6** γῆρας Dindorf: γήρας AV

τῇ συνηθείᾳ παρὰ ἀρχαίοις ἔκπληξιν δηλοῦν καὶ τὸ *νῦν* χρονικόν καὶ εἴ τι τούτῳ ὅμοιον.

142. Τὰ μέντοι τὸ *η* ἔχοντα μονοσύλλαβα μὴ προσκειμένου τοῦ *ι* ὀξύνεται, ὡς καὶ ἤδη εἶπον· *νή*, *μή*, *πλήν*, [τοῦ] *δήν* καὶ [τοῦ] *ἥ* 5 ἰσοδυναμοῦν τῷ *ὡς* («ἣ θέμις ἐστί», Β 73), *φή* ἀντὶ τοῦ καθάπερ («φὴ νέος οὐκ ἀπάλαμνος», Call.? fr. 737 Pf.).

3–6 Τὰ…ἀπάλαμνος] vid. § **134** cum testim.; Choer. Ep. Ps. 96.27 (unde Et. Gud. 390.31) *μὴ ἐπίρρημα, τὸ ΜΗ η, διατί; Πᾶν ἐπίρρημα μονοσύλλαβον μακροκατάληκτον κατ' ἰδίαν ῥητὸν μακροκατάληκτον ὀξύνεσθαι θέλει, καὶ διὰ τοῦ Η γράφεσθαι, οἷον μή, δή, νή. Τί προσγράφεις; Οὐδέν. Διατί; Τὰ εἰς Η λήγοντα ἐπιρρήματα ἔχουσι τὸ Ι προσγεγραμμένον, οἷον ἄλλῃ, πάντῃ, πλὴν τοῦ μή καὶ* ⟨*νή καὶ*⟩ (addidi ex Et. Gud.) *δηλαδή*; exempla e Catholica hausta servat et Theogn. 155.14 (can. 936) Τὰ εἰς -ην μονοσύλλαβα ἐπιρρήματα διὰ τοῦ -η- γράφεται (γρ$^{\alpha}$ cod.), οἷον δήν, ἥν (δην, ην cod.), πλήν· σεσημείωται τὸ πρίν διὰ τοῦ -ι- γραφόμενον (γρ$^{\alpha}$ cod.); ibid. 155.17 (can. 937) Τὰ εἰς -η λήγοντα ἐπιρρήματα μονοσύλλαβα διὰ τοῦ -η- γράφονται, οἷον μή, νή (μη, νη cod.), ἥ (ή cod.) (ἀντὶ τοῦ ὡς (ως cod.)· ὃ καὶ δασύνεται). κῇ (Lentz 492.16: κη cod.) ἀντὶ τοῦ ἐκεῖ, τροπῇ τῆς -ει- διφθόγγου εἰς -η- (Lentz 492.16: -ην cod.) Αἰολικῶς, βῆ (Lentz 492.17: βλῆ cod.) μίμημα φωνῆς ἀλόγου ἰσοδυναμοῦν τῷ βληχᾶσθαι (τῷ βλη- Lentz 492.17: τὸ βλι- cod.), ὃ καὶ περισπᾶται· πῇ τὸ ἐρωτηματικόν, καὶ αὐτὸ περισπώμενον καὶ σὺν τῷ ι; Et. Gen. α 593 ἁμαρτῇ ... εἰσὶ δέ τινα (scil. adverbia) εἰς -η λήγοντα μὴ ἔχοντα τὸ ι προσγεγραμμένον· εἰσὶν δὲ ταῦτα· ἥ, οἷον (Β 73 ...) «ἣ θέμις», σημαίνει δὲ τὸ ὡς θέμις· φή, οἷον (Call. fr. inc. 737 Pf.) «φὴ νέος οὐκ ἀπάλαμνος», σημαίνει δὲ τὸ ὡς νέος· μή, οἷον «μὴ τύψῃς»· νή, οἷον «νὴ τὴν Ἀθηνᾶν»...ἔστι δὲ καὶ τὸ δηλαδή καὶ τὸ βῆ, ὅπερ περισπᾶται, τῶν ἄλλων τῶν μὴ ἐχόντων τὸ ι μὴ περισπωμένων ..., vid. et testim. a L.–L. indicata; Ep. Hom. η 13; Eust. Il. I 267.1; de ἥ, cf. Hrd. ap. sch. Ι 134a[2] *δασυντέον τὸν η καὶ ὀξυντέον, ἰσοδυναμοῦντα τῷ ὥς*, vid. et testim. ad sch. Β 73 collecta; Ap. Dysc. adv. 148.30 «ἥ θέμις ἐστίν» (Β 73) ἐν ἴσῳ τῷ «ὣς θέμις ἐστί»; Ep. ad A 2B[1] (l.92) cum testim.; Choer. Ep. Ps. 30.33

1 συνηθείᾳ Dindorf: συνθέσει συνή$^{\theta}$ A, sed vox συνθέσει lineola traducta deleta est: συνθέσει tantum legitur in V | ἀρχαίοις] ⟨τοῖς⟩ ἀρχαίοις Kassel – Austin ad Hermipp. fr. 18 **3** Τὰ A: *ὰ V, lit. τ a rurb. omissa **4** ὀξύνεται Dindorf: ὀξ^{υ} A: ὀξύνονται V | τοῦ[1] delevi: ⟨καὶ⟩ τὸ Lerhs 45 | δήν Lerhs 45: δῆ AV | τοῦ[2] delevi: τὸ Lerhs 45 | ἥ Lerhs 45: ἦ A: ἢ V **5** ἰσοδυναμοῦν Lerhs 45: ἰσοδυναμοῦντος AV | ἣ Lerhs 45: ἦ A: ἢ V | ἐστί V: ἔστι A | φή Bloch coll. § **134**: φῆ AV **6** φὴ Bloch coll. § **134**: φῆ AV

143. Τὰ ἔχοντα τὸ ω ὀξύνεται καὶ περισπᾶται· τὸ (1) *τως* ἀνταποδοτικόν, «*τὼς δέ σ' ἀπεχθήρω*» (Γ 415), καὶ τὸ (2) *τω*, ὅτε τὸ *διό* σημαίνει, «τὼ οὐκ ἂν βασιλῆας» (Β 250). τὸ (3) *ὥς* ἀεὶ

1–2 τως ἀνταποδοτικόν] Hrd. Π. μον. λέξ. 932.8 Ὥς, τώς. οὐδὲν εἰς -ως λῆγον ἐπίρρημα ὀξυνόμενον, ὑπεσταλμένης τῆς Δωρίδος διαλέκτου, ἀλλὰ μόνον τὸ ὥς, καὶ τώς ἀνταποδοτικὸν αὐτοῦ ὑπάρχον; τώς inter oxytona refert et Ap.Dysc. adv. 171.3 **2** τω] cf. Hrd. ap. sch. Β 373a τῶ {κε τάχ'}: τὸ τῶ πολλὰ σημαίνει (usque ad σημαίνει ex Oro). ἐπὶ μὲν τοῦ τοιούτου περισπᾶται καὶ τὸ ι οὐκ ἔχει, vid. et testim. ab Erbse allata; Ep. Hom. τ 75 τῷ: «τῶ οὐκ ἂν βασιλῆας» (Β 250). σημαίνει τὸ διό, καὶ περισπᾶται κατὰ Ἡρωδιανόν..., vid. et locos ibi indicatos; Σ τ 313 cum testim.; contra Ap. Dysc. adv. 199.1 τω oxytonum esse et sine iota scribendum demonstrat («οὔτε περισπᾶται οὔτε σὺν τῷ ι γράφεται» = 199.2); sch. β 281a τῶ] γρ. καὶ {τὸ} «τῶ», μετὰ ὀξείας, vid. et locos a Pontani laudatos **3–129,2** τὸ²...περισπᾶται] cf. Hrd. Cath. Pros. ap. Ep. Hom. ω 5 Ὡς (Β 459): ἐπίρρημα παραβολῆς. πότε ὀξύνεται καὶ βαρύνεται, καὶ πότε περισπᾶται τὸ ώς; ὅτε ἐπὶ τέλους στίχου κεῖται, ὀξύνεται· «ὄρνιθες ὥς» (Γ 2). καὶ ὅτε προηγεῖται ἐγκλιτικοῦ, ἐάν τε ἀρχῃ φράσεως, ἐάν τε μέσον {εἴ}ῇ· «ὥς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἐνίσπες» (Ω 388), «ώς τε γὰρ ἢ παῖδες νεαροὶ χηραί τε γυναῖκες» (Β 289), «ἀλλ' ὥς τις τούτων γε βέλος καὶ οἴκοθι πέσσῃ» (Θ 513)· βαρυτονεῖται δὲ ἐν ἀρχῇ τιθέμενον μὴ ἐπιφερομένου ἐγκλιτικοῦ, «ὣς εἰπὼν πυλέων» (Η 1), «ὣς δὲ λέων μήλοισιν» (Κ 485), «ὣς ἐχάρη Μενέλαος» (Γ 27), καὶ ἐν μέσῃ φράσει μὴ ἐπιφερομένου ἐγκλιτικοῦ, εἰ μὴ σημαίνει τὸ ὅμως ἢ τὸ οὕτως· ὁπότε γε οὕτως, ὑποτάσσοιτο συνδέσμῳ, «ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον» (ρ 218) καὶ «Ἕκτωρ δ' ὡς εἶδεν Τεύκρου βλαφθέντα βέλεμνα» (Ο 484) καὶ «Ἕκτωρ δ' ὡς οὐκ ἔνδον ἀμύμονα τέτμεν ἄκοιτιν» (Ζ 374). Ἀρίσταρχος δὲ παρήνει καὶ Τυραννίων (fr. 1 Haas) τὸ ὡς ἐν μέσῃ φράσει περισπᾷν, εἰ {μὴ} ὑποτάσσοιτο σύνδεσμῳ, ὡς τὸ {καὶ} «ἀλλὰ καὶ ὧς ἐθέλω» (ε 219), «ἐπεὶ ὧς ἄγε νεῖκος Ἀθήνη» (Λ 721), «ἀλλὰ καὶ ὧς ἱππεῦσι μετέσσομαι» (Δ 322), «ἀλλὰ καὶ ὧς ἐθέλω δόμεναι πάλιν εἰ τό γ' ἄμεινον» (Α 116), «ἀλλ' οὐδ' ὧς σε ἔολπα ὀνόσ⟨σ⟩εσθαι κακότητος (ε 379), vid. et locos a Dyck allatos; Ap. Soph. 170.16 δασυνόμενον δὲ καὶ περισπώμενον τὸ ὧς τὸ ὁμοίως δηλοῖ· «ἀλλὰ καὶ ὧς ἐθέλω δόμεναι πάλιν» καὶ «ἀλλ' οὐδ' ὧς ἑτάρους ἐρύσσατο ἱέμενός περ»; ὥς quippe quod ab ὅς ductum sit iure acutum habere explicat Ap. Dysc. adv. 170.30; Hrd. Π. μον. λέξ. 932.8 Ὥς, τώς. οὐδὲν εἰς -ως λῆγον ἐπίρρημα ὀξυνόμενον, ὑπεσταλμένης τῆς Δωρίδος διαλέκτου, ἀλλὰ μόνον τὸ ὥς, καὶ τώς ἀνταποδοτικὸν αὐτοῦ ὑπάρχον. οὐκ ἀγνοῶ μέντοι ὅτι ἐν διαφόρῳ σημαινομένῳ καὶ διαφόρῳ συντάξει ἔσθ' ὅτε περισπᾶται; Hrd. ap. sch. Α 116a ⟨καὶ ὧς⟩: τὸ ὡς ὁπότε σημαντικόν ἐστι τοῦ ὅμως, περισπᾶται et locos ibi congestos

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | τως sine accentu AV **2** τω sine accentu AV **3** διό V (coni. Dindorf praef. xiv): δύο A | τὸ² A: *ὸ V, lit. τ a rubr. omissa τὸ²...ὥς] ad haec verba annotationem σ^η τὸ *ὡς* in margine posuit rubricator libri A

ὀξύνεται κἂν ἐν ἀρχῇ κἂν ἐν μέσῳ κἂν ἐν τέλει ᾖ, πλὴν μόνον ὅτε σημαίνει τὸ *οὕτως* καὶ τὸ *ὅμως*· τότε γὰρ περισπᾶται. ὀξύνεται μὲν ἐν ἀρχῇ οὕτως· «ὣς δὲ λέων ἐχάρη», (Γ 23) κοιμιζομένης ἐν τούτῳ τῆς ὀξείας διὰ τὸ μὴ εἶναι τὸν *δέ* ἐγκλιτικόν. καὶ ἐν μέσῳ·
5 «ὡς αἰεὶ τὸν ὅμοιον ἄγει θεὸς ὣς τὸν ὅμοιον» (ρ 218), «τὼς δέ σ' ἀπεχθήρω, ὡς νῦν ἔκπαγλ' ἐφίλησα» (Γ 415). καὶ ἐν τέλει· «Τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν ὄρνιθες ὥς.» (Γ 2) τοῦ δὲ περισπωμένου, ὅτε δηλοῖ τὸ *οὕτως* ἢ τὸ *ὅμως*· «ἀλλὰ καὶ ὧς ἐθέλω δόμεναι πάλιν, εἴ τό γ' ἄμεινον» (Α 116), «ἐπεὶ ὧς ἄγε νῖκος Ἀθήνη» (Λ 721), «ἀλλὰ
10 καὶ ὧς ἱππεῦσι μετέσσομαι» (Δ 322), «ἐμὲ δ' οὐδ' ὧς θυμὸν ἀνῆκεν» (Ο 24). καὶ τὸ (4) *ὦ* κλητικὸν περισπᾶται· «ὦ ἄνθρωπε». ὅτε δὲ (5) σχετλιαστικόν, ὀξύνεται· «ὤ, τί σε εἴπω» (Ar. Nub. 1378)· καὶ (6) ὅτε προσγράφεται αὐτῷ τὸ *ι* καὶ ταὐτὸν σημαίνει τῷ *ὥσπερ*· «ᾧτε χερνῆτις γυνή» (Μ 433). Τὸ μέντοι (7) *πρῴ* μονοσύλλαβον παρ'

3–4 κοιμιζομένης…ἐγκλιτικόν] vid. § **19** **11** ὦ κλητικὸν] vid. § **103** **12** σχετλιαστικόν ὀξύνεται] cf. Ioh. Philop. de voc. ω 3 (rec. B) ὦ· τὸ ἄρθρον περισπᾶται, ὤ· σχετλιαστικὸν ἐπίρρημα ὀξύνεται; ibid. ω 1 (rec. C); Et. Gud. 576.41 ὤ, ὀξυνόμενον σχετλιαστικόν, ὢ τοῦ ἰδίου, ὠ ἐγώ; aliter Ap. Soph. 169.30 ω ψιλούμενον καὶ περισπώμενον ... ἐπίρρημα σχετλιασμοῦ «ὦ πόποι» **13** ᾧτε] Ep. Hom. ω 23 ᾧ τε: «ἀλλ' ἔχον ᾧ τε τάλανα» (Μ 433). τοῦτο σημαίνει τὸ καθάπερ, καὶ γράφεται σὺν τῷ ι ... vid. et locos a Dyck allatos; Choer. Orth. 281.17 ᾧτε: σὺν τῷ ι, ἀντὶ τοῦ ὡσεί τε **14** πρῴ] sch. Ar. Av. 129b πρῴ: οὕτω μονοσυλλάβως λέγουσιν. Εὔπολις Βάπταις «ἐκεῖ γὰρ ἑξῆς ἀγαθὰ πολλὰ δὴ πρῴ» (fr. 85 K.–A.). συναίρεσις γάρ ἐστι τοῦ «πρωί»· διὸ ὀξύνεται. τὸ δὲ «πρῷν» περισπᾶται; Su. π 2939 Πρῴ: οὕτω μονοσυλλάβως. ἔτι ὄρθρου βαθέος. ἴσον τῷ ἐν ὥρᾳ. τοῦ πρωΐ συναίρεσίς ἐστι τὸ πρῴ, διὸ ὀξύνεται· τὸ δὲ πρῷν περισπᾶται. «οὐ πρῷν μὲν ἡμῖν ὁ τραγῳδὸς ἤγειρε». Καλλίμαχος (fr. 219 Pf.); vid. locos ab

2 ὅμως A: ὁμῶς V **3** ὣς δὲ A: ὥς δε V **5** τὼς V (coni. Dindorf): πῶς A **6** ἀπεχθήρω V: ἀπαχθήρω A | ὡς A: ὡς V | ἔκπαγλ' ἐφίλησα V: ἔκπαγλα φίλησσα A **7** κλαγγῇ V: κλαγγλῇ A | ἴσαν Dindorf: ἶσαν AV | τοῦ A: *οῦ V, lit. τ a rubr. omissa | τοῦ…περισπωμένου] subaudi ὑποδείγματα vel simile quid, cf. § **13**, **61** **8** ὧς A: ὥς V **9** γ' V: γε A | ὧς A: ὣς V | ἄγε νῖκος V: ἀγένικος A: ἄγε νεῖκος restituit Dindorf praef. xiv ex Λ 721 **10** ὧς[1] A: ὣς V ὧς[2] A: ὣς V | θυμὸν A: θυμὸς V | ἀνῆκεν V (Dindorf quasi ex A): ἀκῆκεν A: **11** καὶ A: *αὶ V, lit. κ a rubr. neglecta | ὦ[1] A: ω V **12** post ὀξύνεται add. οἷον V εἴπω V: εἶπον A | post ὅτε addere δασύνεται καὶ nolui **13** προσγράφεται V: προσφράφεται A | τῷ Dindorf: τὼ AV | ᾧτε Lentz 494.3 (de ᾧ / ᾧτε collocatione, cf. § **135** κάρᾳ / κατωκάρᾳ, § **144** οἷ / οἷπερ et § **154** λοφάδεια / καταλοφάδεια): ὥς τε AV: ᾧ τε Bloch **14** χερνῆτις Bloch: χερνάτις AV; ante χερνῆτις vocem τάλαντα om. AV | γυνή V: γύναι A | πρῴ V: πρώι A

Ἀττικοῖς ὀξύνεται, ἐπεὶ ἐκ τοῦ *πρωΐ* δισυλλάβου ὀξυνομένου κατὰ συναίρεσιν γέγονε. τὸ δὲ (8) *πρῶν* περισπᾶται, οἷον «οὐ πρῶν μὲν ἡμῖν ὁ τραγῳδὸς ἤγειρεν» (Call. fr. 219 Pf.), ἐπεὶ ἐκ τοῦ *πρώην*.

144. Τὰ ἔχοντα τὴν *-οι* δίφθογγον ἢ τὴν *-ει* περισπᾶται· Ἀριστοφάνης ἐν Βατράχοις (199) «ἵζω 'πὶ κώπην, οἷπερ ἐκέλευσάς με σύ», «πεῖ εἶ; εἶ τὰ τῶν χοιραγχᾶν», Σώφρων (fr. 138 K.–A.), «πεῖ γὰρ ἄσφαλτος» (Sophr. fr. 4.8 K.–A.). Ὅτε δὲ ἐπίρρημά ἐστι εὐκτικόν, τὸ *εἴ* ὀξύνεται ὁμοίως τῷ συνδέσμῳ· *εἴθ' ὤφελες*. τὸ γὰρ στοιχεῖον περισπᾶται. 5

Alpers ad Ori ἀττ. fr. B 140 congestos; de πρωΐ bisyllabo oxytono vid. etiam Theogn. 159.26 (can. 964)
1–2 ἐπεὶ…γέγονε] vid. § **22** **2** πρῶν[1]] Ioh. Philop. de voc. π 2 (rec. B) πρών· †ἡ μετοχὴ† (scribe ἐξοχή) τοῦ ὄρους ὀξύνεται, πρῶν· περισπᾶται ὅτε δηλοῖ τὸ ἤδη, πρώην γὰρ ἦν; ibid. π 25 (rec. C) et π 25 (rec. D); sch. Ar. Av. 129b (supra); Su. π 2939 (supra) **3** ἐπεὶ…πρώην] vid. § **21** **4–7** Τὰ…ἄσφαλτος] de adverbiis monosyll. in -οι, cf. Theogn. 155.25 (can. 938) Τὰ εἰς -οι λήγοντα ἐπιρρήματα μονοσύλλαβα δύο εἰσίν· τὸ ποῖ πευστικὸν καὶ τὸ οἶ (scripsi: οἷ cod.) τοπικόν· ἀμφότερα δὲ περισπᾶται; de eis quae in -ει desinunt, cf. Ap. Dysc. adv. 132.26 οὐδὲ γὰρ ἔστιν ἐπινοῆσαι ἐπίρρημα εἰς -ει λῆγον ἐν περισπασμῷ, κατὰ τὸ κοινὸν ἔθος, διὰ τὸ παρὰ Δωριεῦσι «πεῖ γὰρ ἁ ἄσφαλτος» (Sophr. fr. 4.8 K.–A.) καὶ «εἶ τὰ τῶν χοιραγχᾶν» (Sophr. fr. 138 K.–A.); id. synt. 484.8 **7–9** Ὅτε…περισπᾶται] de εἴ coniunctione § **204**; de εἶ elementi nomine vid. § **25**

2 πρῶν[1] scripsi: πρῶϊν AV, retinuit Lentz 494.8 (πρῷν) | περισπᾶται Lentz 494.9: προπερισπᾶται AV | πρῶν[2] scripsi: πρῷν Lentz 494.9: πρῶϊν AV **3** πρώην] πρῶϊν Lentz 494.10 **4** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | περισπᾶται V: περισπῶνται A **5** 'πὶ V (coni. Dindorf): πεῖ A | οἷπερ Dindorf: οἶπερ AV; (de οἶ / οἷπερ collocatione cf. § **135** χάρᾳ / κατωκάρᾳ, § **143** ᾧ / ᾧτε et § **154** λοφάδεια / καταλοφάδεια) **6** πεῖ[1] Dindorf praef. xiv: ποῖ AV | εἶ τὰ Dindorf praef. xiv praeeunte F.J. Bast ad Greg. Cor. p. 351 (contulerunt Ap. Dysc. adv. 132.28): εἶτα AV | τῶν χοιραγχᾶν F.J. Bast op. cit. p. 352 coll. Ap. Dysc. l.c.: τὸν χείραγχαν AV **8** εἴ A: ει V | εἴθ' V: εἴγ' A

145. Καὶ πάντα ὅσα εἰς τὴν διὰ τοῦ -υ δίφθογγον ⟨λήγει⟩ περισπᾶται· *εὖ*, *φεῦ*, *ποῦ*, *οὗ* (τὸ δασυνόμενον). κἂν ὑπὲρ μίαν συλλαβὴν εἴη, ὁμοίως περισπᾶται, πλὴν τῶν ἀναφορικῶν· *αὐτοῦ*, *τηλοῦ*, *ἀγχοῦ* καὶ τὰ λοιπὰ πάντα. ⟨σημειούμεθα τὸ⟩ *ἰδού* καὶ
5 *ἰού* καὶ *οὔ* ἀποφατικόν· ταῦτα γὰρ ὀξύνεται. Τὰ δὲ ἀναφορικὰ βαρύνεται· *ὅπου*, *ὅτου*. καὶ τὸ *βαύ* κατὰ μίμησιν κυνὸς ὀξύνεται· «βαύ βαύ, καὶ κυνὸς φωνὴν ἵεις» (adesp. iamb. fr. 50 West). ἐξ οὗ καὶ τὸ *βαΰζω* ῥῆμα.

146. Τὰ τὴν -αι- δίφθογγον ἔχοντα ὀξύνεται, οἷον ⟨*αἴ*⟩, «αἴ
10 τάλας» (Men. Mis. 177), *ναί*.

1–5 Καὶ…ὀξύνεται] cf. Ap. Dysc. adv. 176.7–27; ibid. 183.12, 207.9–19; Ep. Hom. υ 34 ὑψοῦ (A 486 alibi) ... περισπᾶται· ⟨τὰ εἰς -ου ἐπιρρήματα περισπᾶται·⟩ ἑκασταχοῦ, πανταχοῦ, αὐτοῦ, τηλοῦ, ὑψοῦ· οὐ μάχεται τὸ {τ}ὅπου βαρυνόμενον, ἀλλ' ἀναδέδωκε τὸν τόνον ὁμοίως τῷ πῇ ὅπῃ, ⟨ποῦ⟩ ὅπου; Choer. I 218.28, 388.14; de ἰδού, ἰού, οὔ vid. §§ 54, 106, 202; vid. etiam Hrd. Cath. Pros. ap. Ep. Hom. α 248 αὖ: σύνδεσμος παραπληρωματικός. περισπᾶται· †αἱ εἰς υ λήγουσαι μετοχαὶ δίφθογγον† περισπῶνται. σεσημείωται τὸ ἰού ἐπίφθεγμα καὶ ἡ οὔ ἀπόφασις καὶ ἰδού· καὶ τὸ μὲν ἰδού, ὡς δεικτικὸν καὶ αὐτῆς τῆς δείξεως σημαντικόν· ἡ δὲ ἀπόφασις πρὸς ἀντιδιαστολὴν †τοῦ ου στοιχείου†·('expectaveris τοῦ οὗ ἄρθρου' Dyck) τὸ δὲ ἰού ἐπίφθεγμά ἐστι σχετλιαστικόν, τὰ δὲ σχετλιαστικὰ οὐδ' ὑπάγεται ἀναλογίᾳ, οὐ γὰρ ἀπὸ ἐρρωμένης διανοίας πέμπεται **9–10** Τὰ…ναί] haec in -αι monosyllaba adverbia e Catholica servat Theogn. 155.30 (can. 940) Τὰ εἰς -αι λήγοντα ἐπιρρήματα μονοσύλλαβα, τρία ἐστίν· αἴ (scripsi: αἰ cod.) τὸ ὀξυνόμενον (scripsi: δασυνόμενον cod.), ὡς ὅταν λέγωμεν (λέγομεν cod.) «αἴ (Lentz 495.4: αἶ cod.) τάλας» (Men. Mis. 177)· καὶ αἴ (Lentz 495.4: αἶ cod.) τὸ εὐκτικόν, ὅπερ ἀπὸ τοῦ εἴ (Lentz 495.5: ει cod.) γέγονεν Δωρικῇ τροπῇ τοῦ -ε- εἰς -α-, ὡς κύπειρον κύπαιρον (κύπαιρον quod est in cod. neglexit Cramer, vid. Schneider² 18; add. iam Lentz 495.6)· καὶ τὸ ναί συγκαταθέσεως

1 εἰς τὴν A: ἐστὶ V | δίφθογγον per compend. A: διφθόγγου V | λήγει addidi (quod om. AV ut per compend. λή scriptum) **3** συλλαβὴν V: συλλαβαλὴν A **4** τηλοῦ V (coni. Bloch): τηλοῖ A | σημειούμεθα τὸ exempli gratia supplevi coll. § **163** σημειούμεθα τὸ *οἴκοθεν*, *πάντοθεν*, προπαροξυνόμενα et § **54** ἔνθεν σημειούμεθα τὴν *οὐ* ἀπόφασιν καὶ *ἰδού* δεικτικὸν καὶ *ἰού* σχετλιαστικὸν ἐπίρρημα: spat. vac. in AV: σημειωτέον suppl. Dindorf **5** ὀξύνεται Dindorf: ὀξῦ A: ὀξύνονται V **6** βαρύνεται Dindorf: βαρῦ A: βαρύνονται V | ὅτου] ὅκου Lentz 495.1 | βαύ A: καύ V | κυνὸς V: κοινὸς A **7** βαύ βαύ Dindorf: βοὺ βαὺ A: καὺ καὺ V | ἵεις A: ἴεις V: ἱείς Dindorf in Thesaur. s.v. βαΰζω: ἱεῖς Egenolff² 244 **8** βαΰζω A: καύζω V **9** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | ὀξύνεται Dindorf: ὀξῦ

147. Ταῦτά ἐστι μονοσύλλαβα.

148. Οὐδὲν τῶν ὑπὲρ μίαν συλλαβὴν εἰς -α ληγόντων ἐπιρρημάτων περισπᾶται, ἀλλὰ ἢ ὀξύνεται, ὡς τὸ *ἀναφανδά*, *ἀγεληδά*, *τριχθά*, *δηθά*, ἢ βαρύνεται, ὡς τὸ *αἶψα*, *ἤλιθα*, *αὐτίκα*.

149. Τὰ εἰς -α δισύλλαβα, ὑπεσταλμένων τῶν εἰς -δα καὶ -θα, 5 βαρύνεσθαι θέλει· [*ἔνθα*], *ῥέα*, *ῥεῖα*, *σάφα*, *μίγα*, ὅπερ ⟨καὶ⟩ *μίγδα* λέγεται, «μίγδ' ἄλλοισι θεοῖσι» (Θ 437), *σῖγα*, *ὦκα*, *πύκα*, *ἦκα*, *φύγα*, ὃ πάλιν ⟨καὶ⟩ *φύγδα* λέγεται, *τέττα*, *ἔμπα*, ὅπερ καὶ σύνδεσμός ἐστιν, *αἶψα*. καὶ τὸ *τρόπα* δὲ ὀφείλει βαρύνεσθαι (ἔστι δὲ παιδιά)· τινὲς δὲ ὤξυναν. Συντιθέμενα δὲ δισύλ- 10 λαβα προπαροξύνεται· *ἄναντα*, *πάραντα*.

1 Ταῦτά…μονοσύλλαβα] scil. ea quae capitulis §§ **139–146** continentur **2–4** Οὐδὲν…αὐτίκα] cf. Ap. Dysc. adv. 151.30 Τὰ εἰς -α λήγοντα ἐπιρρήματα ἢ ὀξύνεται, ὡς δηθά, καναχηδά, πυκνά, ἢ βαρύνεται, ὡς τάχα, λίγα, ἄντα, πρῶτα **5–10** Τὰ…ὤξυναν] cf. Ep. Hom. α 153 ἅμα (Γ 1): … βαρύνεται· τὰ εἰς -α λήγοντα δισύλλαβα ἐπιρρήματα ἅπαντα βαρύνεται, οἷον ὦκα, τάχα, σάφα, λίγα, λίπα, χωρὶς τοῦ θαμά …, vid. et locum a Dyck allatum; eadem Ep. Hom. ω 27; alio canone comprehendit accentum adverbiorum σάφα, ὦκα, πύκα Ioh. Alex. § **132**; alia ratione rem aggressus est Ap. Dysc. adv. 151.30 Τὰ εἰς -α λήγοντα ἐπιρρήματα ἢ ὀξύνεται, ὡς δηθά, καναχηδά, πυκνά, ἢ βαρύνεται, ὡς τάχα, λίγα, ἄντα, πρῶτα. τὰ πρωτότυπα μόνως βαρύνεται, αἶψα, αὐτίκα, ὄφρα, ῥίμφα, μάλα, μέσφα, καὶ ὅσα παρ' ἐνεστῶτας τῶν ῥημάτων ἀποτελεῖται, ἠρεμῶ ἠρέμα, μίγω μίγα, ἀντῶ ἄντα, μινύθω μίνυθα (καὶ μετὰ περισσοῦ τοῦ ν μίνυνθα), ῥέω ῥέα … σιγῶ σῖγα, ἀτρεμῶ ἀτρέμα; accentum adverbiorum ἦκα et ἔμπα diverse atque noster excusat Ap. Dysc. adv. 154.22 **5** εἰς -δα] vid. §§ **150**, **151** | -θα] vid. § **152**

A: ὀξύνονται V | αἴ[1] (optativum) addidi coll. Theogn. 155.30 (can. 940); vid. Xenis[3]
3 ἀγεληδά V: om. A **4** αἶψα Dindorf praef. xiv: αἴψα AV | ἤλιθα A: ἠλίθα V **5** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | ὑπεσταλμένων V: ὑπεσταλλένων A **6** ἔνθα del. Lentz 495.12 | μίγα Dindorf: μέγα AV | καὶ add. Egenolff[2] 244 **7–8** μίγδ'…λέγεται V: om. A propter homoeoteleuton **7** ἄλλοισι ex Hom. restituit Egenolff[2] 244: ἄλλοι τε V | σῖγα Egenolff[2] 244: σίγα V **8** ἦκα Egenolff[2] 244: ἤκα V | φύγα] vid. Lentz 498.8–15 et Egenolff[2] 244–5 | καὶ add. Egenolff[2] 244 **9** αἶψα V (iam Dindorf praef. xiv): αἴψα A | τρόπα δὲ divisit Dindorf praef. xv: *τροπάδε* AV **10** παιδιά Dindorf: παιδεῖα A: παιδεία V **11** προπαροξύνεται A: παροξύνονται V

150. Τὰ εἰς -δα ἐπὶ παιδιᾶς κείμενα, παραληγόμενα τῷ -ι- καὶ -υ-, παροξύνεται· *βασιλίνδα*, *χυτρίνδα*, *φενίνδα*, *ὀστρακίνδα*, *μυΐνδα*. τὸ *σκαπέρδα* ἐπὶ παιδιᾶς μὲν κεῖται, ὄνομα ⟨δ'⟩ ἐστὶ καὶ οὐκ ἐπίρρημα.

5 **151.** Τὰ δὲ λοιπὰ τῶν εἰς -δα ὀξύνεται, χωρὶς εἰ μὴ πρὸ τοῦ -δ- εἴη ἕν τι τῶν μέσων· *ἀναφανδά*, *καναχηδά*, *παμπηδά*, *ἀποκριδά*. τὸ δὲ *κρύβδα* καὶ *μίγδα* πρὸ τοῦ -δα μέσον ἔχει τὸ -β- καὶ -γ-. τὸ †*γύδα* οἱ μὲν ὤξυναν, οἱ δὲ ἐβάρυναν, ὅπερ καὶ ἐπεκράτησεν.

1–3 Τὰ…μυΐνδα] Theogn. 164.28 (can. 999) Τὰ διὰ τοῦ -ινδα ἐπιρρήματα παροξύνονται καὶ διὰ τοῦ -ι- γράφονται καὶ ἐπὶ παιδιῶν (scripsi: παιδίων cod.) λαμβάνονται, καὶ πρὸς αἰτιατικὴν συντάσσεται, οἷον βασιλίνδα παιδιάν, χυτρίνδα, δραπετίνδα, ποσίνδα, ἐπαιτίνδα, ξιφίνδα, [δα]ληκίνδα (δα– ut e dittographia natum delevi), μυΐνδα (ἀπὸ τοῦ μύειν τοὺς ὀφθαλμοὺς καὶ ἐρωτώμενον λέγειν τίνα τάδε καὶ πόσα τάδε, ἐάν τις ἐπιτύχῃ), φ⟨ρ⟩υγίνδα (scripsi; vid. LSJ s.v.), [χυτρίνδα] (delevi ut e superioribus repetitum), ὀστρακίνδα καὶ εἴ τι ἕτερον; Ap. Dysc. adv. 152.10 ἰδού τινα εἰς -δα λήγοντα καὶ βαρύτονά ἐστιν, ὡς τὸ ληκίνδα, ὀστρακίνδα, ὀνόματα παιδιῶν; sch. (vet.) Ar. Eq. 855a … παροξῦναι δὲ δεῖ τὸ ὀστρακίνδα καὶ πάντα τὰ τοιαῦτα ἐπὶ παιδιᾶς τασσόμενα; Su. χ 619 **5–8** Τὰ…-γ-] aliam oxytonesis regulam praescribit Ap. Dysc. adv. 152.12 τὰ ὀξυνόμενα (scil. εἰς -δα) συνυπάρχει τοῖς εἰς -δον περατουμένοις, καναχηδόν καναχηδά, αὐτοσχεδόν αὐτοσχεδά, χανδόν χανδά. τῷ μέντοι μίγδα οὐ παράκειται ὁ τοιοῦτος σχηματισμός. ἦν οὖν ἐν πλεονασμῷ τοῦ δ; adverbia in -δα oxytona etiam ap. sch. (Vat.) D. Thr. 280.30

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | παιδιᾶς A: παιδειᾶς V **2** -υ- Lentz 495.17: η AV | παροξύνεται] παροξ^ύ A: παροξύνονται V | φενίνδα scripsi: φερίνδα AV: φαινίνδα Dindorf praef. xv **3** μυΐνδα V: μυίνδα A | σκαπέρδα Dindorf praef. xv: καπέρδα AV | παιδιᾶς A: παιδειᾶς V | δ' add. Dindorf nisi quod δέ scripsit **5** ὀξύνεται Dindorf: ὀξ^ύ A: ὀξύνονται V **6** παμπηδά Lentz 495.23: πανηδά AV **7** μίγδα Dindorf praef. xv: μύγδα AV | ἔχει scripsi: ἔχουσι AV **8** γύδα A: γύδὰ V

152. Τὰ εἰς -θα, εἰ μὲν πρὸ τοῦ -θ- τὸ -χ- ἔχῃ, ὀξύνεται· *τριχθά, τετραχθά.* εἰ δὲ μὴ ἔχῃ, βαρύνεται. ὑπὲρ δύο συλλαβὰς ὄντα προπαροξύνεται, ὑπεσταλμένου τοῦ *ἐνταῦθα* προπερισπωμένου· *ἔνθα, πρόσθα, πάροιθα, ὕπισθα, ἤλιθα.*

153. Τὰ εἰς -χα λήγοντα ἐπὶ ποσότητος βαρύνεται· *δίχα*, «δίχα δέ σφιν ἥνδανε βουλή» (Σ 510), *τρίχα.* τὸ «ΔΙΑΤΡΙΧΑΚΟΣΜΗΘΕΝΤΕΣ» (Β 655) οὐ σύνθετον· ἔμελλε γὰρ προπαροξύνεσθαι, ὡς *διάνδιχα.* ἀλλ' ἔστι τὸ ἑξῆς «διακοσμηθέντες τρίχα»· τὰ γὰρ ὑπὲρ δύο συλλαβὰς προπαροξύνεται· *τέτραχα, πένταχα, ἕξαχα.* 5

1–4 Τὰ…ἤλιθα] cf. Hrd. Cath. Pros. ap. Ep. Hom. τ 34 τριχθά (Γ 363)· l. 51 «τριχθά ⟨τε⟩ καὶ τετραχθά» (Γ 363, ι 71). ὀξύνεται. τὰ εἰς -θα λήγοντα ἐπιρρήματα ἔχοντα τὸ χ πρὸ τοῦ θ ὀξύνεσθαι θέλουσιν et ap. Ep. Hom. υ 33 ὕπαιθα (Ο 520 alibi) … (l. 93) Βαρύνεται· τέσσερά εἰσι παρὰ τῷ ποιητῇ βαρυνόμενα εἰς -θα· «ὁ δ' ὕπαιθα λιάσθη» (Ο 520), μίνυθα, ἤλιθα καὶ τὸ ἔνθα..; diverso canone Apollonius Dyscolus (adv. 153.13; etiam 191.4) accentum adverbiorum in -θα complectitur: adverbia in -θα quae Dorienses et Aeoles pro communibus adverbiis in -θεν adhibent gravantur; adverbia autem quorum terminatio -θα non derivatur aeolico aut dorico more a communi -θεν, oxytona sunt; de ἐνταῦθα et ἤλιθα nihil praecipit; Apollonium sequitur Ep. Hom. ε 45, ll. 25–29 cum testim. **5–9** Τὰ…ἕξαχα] Ep. Hom. τ 34 … τὰ εἰς -χα λήγοντα ἐπιρρήματα ἐπὶ ποσότητος λαμβανόμενα βαρύνεσθαι θέλουσιν· εἰ δὲ εἴη ὑπὲρ δύο συλλαβὰς προπαροξύνεσθαι θέλουσιν, οἷον δίχα διάνδιχα, τρίχα και τέτραχα …, cum testim. ibi allatis; Hrd. ap. sch. Β 655 alia ratione rem aggreditur τρίχα: τὸ τρίχα βαρύνεται, ὅτι τὰ εἰς -ως λήγοντα ἐπιρρήματα, εἰ ἔχοι παρακείμενα εἰς -α λήγοντα μὴ συνεμπίπτοντα ὀνόμασι,πάντως βαρυνόμενα ἔχει, οἷον σαφῶς «σάφα» (Β 192 al.)· ὅθεν εἰ τριχῶς, τρίχα; sch. θ 506

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | ἔχῃ scripsi: ἔχει V suo Marte: om. A **2** ἔχῃ] ἔχει Bloch prob. Egenolff[2] 245, at vid. ad § **18** ἐπιφέρηται **4** πάροιθα V (coni. Dindorf praef. xv): πάροισθα A | ὕπισθα] spiritu aspero AV | ἤλιθα V (coni. Dindorf praef. xv): ἥλιθα A **5** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | βαρύνεται Dindorf: βαρ^υ A: βαρύνονται V **6** ἥνδανε V: ἤνδανε A | βουλή A: βουλῇ V **6–7** ΔΙΑΤΡΙΧΑΚΟΣΜΗΘΕΝΤΕΣ sic scripsi: διὰ τρίχα κοσμηθέντες. A διατρίχα κοσμηθέντες V **8** διάνδιχα V (coni. Dindorf): διάντιχα A

154. Τὰ διὰ τοῦ -*δεια* δίφθογγον ἔχοντα ὑπὲρ δύο συλλαβὰς τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν· *λοφάδεια*, «βῆν δὲ καταλοφάδεια φέρων» (κ 169), *κρυφάδεια*.

155. Τὰ εἰς -α λήγοντα, ὅτε δικαταληκτοῦντα καὶ εἰς σύμφωνον
5 λήγει, πρὸ μιᾶς ἔχει τὸν τόνον· *ἀτρέμα* καὶ *ἀτρέμας*, *ἠρέμα* καὶ *ἠρέμας*. *ὑπόδρα* καὶ *ὑποδράξ* λέγεται ὀξυνόμενον, χωρὶς δὲ τοῦ -ξ παροξύνεται.

1–3 Τὰ…κρυφάδεια] cf. Theogn. 164.25 (can. 998) Τὰ διὰ τοῦ -δεια ἐπιρρήματα προπαροξύτονα διὰ τῆς -ει- διφθόγγου γράφονται, οἷον διχάδεια, τυπάδεια, τροπάδεια, κρυφάδεια, ἐγκρικάδεια, καταλοφάδεια (Lentz ad 496.13: τελλοφάδεια cod.) καὶ εἴ τι ὅμοιον; Hrd. ap. sch. κ 169 καταλοφάδεια (-ει- scripsi coll. loco nostro et Theognosto l.c., cf. et Eust. Od. I 374.36: -ι- codd.)] ὑφ’ ἓν ἀναγνωστέον ὡς τὸ κατωμάδεια (scripsi: -ι- codd.) καὶ τόνῳ καὶ σημαινομένῳ **4–6** Τὰ… ἠρέμας] aliter excusatur accentus adverbiorum ἠρέμα et ἀτρέμα Ioh. Alex. supra § **136** (13) … πλὴν εἰ μὴ παρὰ τὸ ἠρεμῶ γέγονεν, ὡς ἀτρεμῶ ἀτρέμα, vid. et locos ibi laudatos; huc pertinet Ap. Dysc. adv. 154.22, quamquam ad numerum syllabarum non spectat (de bisyllabis adverbiis ἧκα et ἔμπα vid. § **149**); de dicatalectis ἠρέμα et ἀτρέμα, cf. Σ^{b} α 2364 cum testim., Ep. Hom. α 45 cum testim. **6–7** ὑπόδρα…παροξύνεται] simillima nostro loco sunt haec: Ep. Hom. υ 5 ὑπόδρα (B 245): ἐπίρρημα … ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι ἐκ τοῦ ὑποδράξ γίνεται. Καὶ διὰ τί ὀξύνεται; ἐπειδὴ τὰ εἰς -ξ λήγοντα ἐπιρρήματα, χωρὶς εἰ μὴ παρὰ πρόθεσιν γίνονται, ἅπαντα ὀξύνονται … τὸ δὲ ὑποδράξ ἀποβαλὸν τὸ σύμφωνον ἀνεβίβασε τὸν τόνον, ὥσπερ ἀνυστής ἀνύτης, δεσπο⟨σ⟩τής δεσπότης· οὕτως καὶ ὑποδράξ ἀποβαλὸν τὸ σύμφωνον ἀνεβίβασε τὸν τόνον, vid. et locos a Dyck allatos; Ep. ad A 148 ὑπόδρα: … ἢ παρὰ τὸ ὑποδράξ, ἀφαιρέσει τοῦ -ξ ἐποίησεν ἀναδρομὴν τοῦ τόνου…; alii grammatici alia de ὑπόδρα disputant, cf. e.g. Philox. fr. 25 cum locis ibi laudatis

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa **2** λοφάδεια] καταλοφάδεια Lentz 496.13, cf. Theogn. 164.27 ubi τελλοφάδεια corruptum est ex καταλοφάδεια; formam tamen simplicem λοφάδεια satis tuentur Ap. Soph. 109.7, Hesych. λ 1283, Σ λ 144 (vid. et locos a Cunningham ibi allatos) | βῆν Dindorf: βὴν AV **2–3** καταλοφάδεια coniunctim Lentz 496.14 coll. sch. κ 169: κατὰ λοφάδεια AV seiunctim; de simplicis λοφάδεια et compositi καταλοφάδεια collocatione cf. supra § **135** κάρᾳ / κατωκάρᾳ, § **143** ᾧ / ᾧτε et § **144** οἷ / οἷπερ **4** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | καὶ] i.q. καὶ εἰς -α καὶ εἰς σύμφωνον λήγει **5–6** ἠρέμα…ἠρέμας V (coni. Dindorf): ἠρέμα καὶ ἠρέμας A **7** παροξύνεται Dindorf: προπαροξ^υ A: προπαροξυνόμενον V

156. Καὶ τὰ εἰς -*κα* τῷ -*ι*- παραληγόμενα πρὸ μιᾶς ἔχει τὸν τόνον, κἂν ἁπλᾶ ᾖ κἂν σύνθετα· *αὐτίκα, παραυτίκα, ἡνίκα, ὁπηνίκα.*

157. Τὰ εἰς -*τε* λήγοντα ὑπὲρ δύο συλλαβὰς πάντα προπαροξύνεται· *ἄλλοτε, ἐνίοτε, πάντοτε, ἑκάστοτε.* μόνον τὸ *ἠΰτε* 5 πρὸ μιᾶς ἔχει τὸν τόνον. τὸ δὲ αἴτιον, ὅτι μόνον τῷ -*υ*- παραλήγεται· τὰ γὰρ ἄλλα ⟨τῷ⟩ -*ο*-.

158. Τὰ δὲ δισύλλαβα μὴ ἔχοντα τὸ -*τ*- πρὸ τοῦ -*ε* καὶ αὐτὰ βαρύνεται, ὑπεσταλμένων ὀλίγων· *τῆλε, πόσε, κεῖσε, ὧδε, βάλε.* τὸ δὲ *εἴθε* καὶ *αἴθε* βαρύνεται μέν, οὐ προπερισπᾶται δέ, 10 ὡς τὸ *τῆλε* καὶ *ὧδε*, ἀλλὰ παροξύνεται, ὅτι περιττή ἐστιν ἡ -*θε* συλλαβή. τὸ μέντοι *ὀψέ* ὀξύνεται καὶ τὸ *αἰέ*, ὃ χωρὶς τοῦ -*ν* καὶ μετὰ τοῦ -*ν* λέγεται.

1–3 Καὶ…ὁπηνίκα] exempla e Catholica petita profert haec Theogn. 156.1 (can. 941) Τὰ εἰς -κα λήγοντα ἐπιρρήματα ὑπὲρ δύο συλλαβὰς τῷ (scripsi: τὸ cod.) -ι- παραλήγεται, οἷον ἡνίκα, πηνίκα, ὁπηνίκα, αὐτίκα, παραυτίκα **4–7** Τὰ…-ο-] cf. exempla e Catholica ap. Theogn. 156.4 (can. 942) Τὰ εἰς -τε λήγοντα ἐπιρρήματα διὰ τοῦ -ε- ψιλοῦ γράφεται καὶ τῷ (scripsi: τὸ cod.) -ο- παραλήγεται, οἷον ἄλλοτε, πάντοτε, ἐνίοτε, ἑκάστοτε, ἔκτοτε, τότε, πότε, ὅτε (de extremis tribus bisyllabis adverbiis vid. ad § **159**); Choer. Ep. Ps. 80.18 Τὰ εἰς ΤΕ λήγοντα ἐπιρρήματα τῷ Ο παραληγόμενα βαρύνονται, οἷον ἄλλοτε, ἐνίοτε, ἑκάστοτε, πάντοτε... **8–10** Τὰ…βάλε] exempla Herodianea servat Theogn. 156.7 (can. 943) Οὐδὲν τῶν εἰς -ε ληγόντων ἐπιρρημάτων ὑπὲρ μίαν συλλαβὴν πρὸ τέλους ἐχόντων τὸν τόνον διὰ τῆς -αι διφθόγγου γράφεται, οἷον τῆλε, αἴθε (acutum posui: αἶθε cod.), ἄγε, φέρε, δεῦτε, κεῖσε, τῆδε, πόσε, ὧδε (ὥδε cod.), ἀβάλε (malim βάλε coll. loco nostro)· τὸ οὐαί, παπαῖ (circumflexum posui: -παί cod.), βαβαί οὐχ οὕτως ἔχοντα διὰ τῆς -αι διφθόγγου γράφεται **10** εἴθε…αἴθε] vid. ad § **17** **12–13** τὸ[1]…λέγεται] de ὀψέ, cf. Ap. Dysc. adv. 163.5 οὐ γὰρ ὑγιὴς ἡ τοῦ ὀψέ τάσις, ὡς δεδείξεται (spectare videtur ad 193.5 sqq. ubi tamen de ὀψέ nullus sermo est) ἐν τῷ περὶ τῶν εἰς ε ληγόντων ἐπιρρημάτων; de αἰέ forma, cf. Theogn. 70.14 (can. 2) (ed. Alpers) αἰεὶ τὸ ἐπίρρημα, καὶ αἰέν. λέγεται γὰρ δωδεκαχῶς, καθὼς Ἡρωδιανὸς ἐν τῇ Καθόλου. οὕτω γὰρ αὐτὸ παρίστησιν· ... λέγεται δὲ καὶ αἰέ δίχα τοῦ ν καὶ τοῦ σ...; Et. Gen. inter α 260 et α 261 ⟨αΐδιος: Sym. α 325. cf. Choer. Orth. 176.33⟩; ap. Et. Sym. α 325 haec leguntur: ... δώδεκα δὲ φωναί εἰσι τοῦ ἀεί· ἔστι γὰρ αἰεί καὶ αἰέν (Α 290) ... καὶ αἰέ ...

2 ἁπλᾶ Dindorf: ἁπλὰ AV **4** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa **4–5** προπαροξύνεται A: προπαροξύνονται V **5** ἠΰτε] ἠύτε AV **6** -υ- V (iam Dindorf): om. A **7** τῷ addidi **10** δέ add. Dindorf **11** ὅτι A: διότι V **12** αἰέ Lentz 497.8 'nam in hoc canone agitur de adverbiis in -ε terminatis': αἰέν AV

159. Τὰ δὲ ἔχοντα τὸ -τ- πυσματικὰ μὲν ὄντα ἢ ἀνταποδοτικὰ ἢ ἀναφορικὰ βαρύνεται· *πότε*, *τότε*. ἀόριστα δὲ ὀξύνεται καὶ ἐγκλίνεται ἐν τῇ ⟨συμ⟩φράσει.

160. Τὰ εἰς -*δε* ἐπιρρήματα τὴν εἰς τόπον σχέσιν σημαίνοντα
5 τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν· *οἴκαδε*, *ἄγραδε* (Call. fr. 72 Pf.), *ἄλαδε*, *Παλλήναδε*, *φύγαδε*. τὸ *οἶκον δέ*, *ἀγρὸν δέ*, δύο μέρη λόγου τὴν ἰδίαν ἕκαστον ἔχον προσῳδίαν ἰσοδυναμοῦντα

1–3 Τὰ…συμφράσει] exempla e Catholica petita invenias ap. Theogn. 156.4 (can. 942) Τὰ εἰς -τε λήγοντα ἐπιρρήματα διὰ τοῦ -ε- ψιλοῦ γράφεται καὶ τῷ -ο- παραλήγεται, οἷον ἄλλοτε, πάντοτε, ἐνίοτε, ἑκάστοτε, ἔκτοτε, τότε, πότε, ὅτε (de prioribus quinque hyperbisyllabis adverbiis vid. ad § **157**); Choer. Ep. Ps. 96.32 Πότε, ἐπίρρημα ἐρωτήσεως, διατί βαρύνεται; Τὰ εἰς ΤΕ λήγοντα ἐπιρρήματα πυσματικὰ ὄντα ἢ ἀποδοτικὰ ἢ ἀναφορικὰ βαρύνονται, οἷον πότε, τότε, ὅτε (accentus in paenultimis posui: ποτέ, τοτέ, ὁτέ cod.); de ὅτε/ὁτέ Hrd. ap. sch. A 493a ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο: Ἀρίσταρχος «ὁτεδή» ὡς δηλαδή παραλόγως ἀνεγίνωσκε. Πάμφιλος δὲ τὸ ὅτε κατ' ἰδίαν ἀναφορικὸν ἀναλόγως· διαφέρει γὰρ τὸ ὅτε ὀξυνόμενον κατὰ τὴν πρώτην τοῦ ὁτέ ἀ⟨ο⟩ρίστου. ὥστε ἐὰν θελήσῃ ὁ Ἀρίσταρχος ἀναγινώσκειν «ὁτεδή» ὡς δηλαδή, πρῶτον τὴν μὴ οὖσαν χρῆσιν παρὰ τῷ ποιητῇ παραλήψεται, δεύτερον τὸ σημαινόμενον παραφθείρει ... ἀποφήνασθαι δεῖ ὅτι ὁ Ἡρωδιανὸς ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ διαλαμβάνων περὶ τοῦ «ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο» λέγει ὅτι τοῦ ὁτέ ὀξυτόνου ἀορίστου οὐκ ἔστιν ἡ χρῆσις παρὰ τῷ ποιητῇ, ἐν μέντοι τῷ ἐννεακαιδεκάτῳ τῆς Καθόλου τὸ «ὡς Ἕκτωρ ὁτὲ μέν ⟨τε⟩ μετὰ πρώτοισι φάνεσκεν» (Λ 64) ὀξυτόνως δεῖν φησιν ἀναγινώσκεσθαι; Eust. Il. III 152.22 Τὸ δὲ ὁτέ ἀντὶ τοῦ ποτέ οἱ ἀρχαῖοι [παρ]ὀξυτόνως (παρ- delevi) φασίν, ὡς καὶ ἐν τῇ ῥῶ φανεῖται ῥαψῳδίᾳ, vid. et locos a van der Valk allatos **4–138,9** Τὰ…ἔνθα] eodem modo atque noster disputat de οἴκαδε et similibus, οἶκον δέ et simil., ἐνδάθε, τηνικάδε Ap. Dysc. adv. 177.13–178.18; de οἶκον δέ et simil. etiam ibid. 180.13–183.4; Hrd. Cath. Pros. ap. sch. Λ 446a (vid. et testim.) et ap. sch. Π 697b[1] (vid. et testim.); de ἐνδάθε, vid. etiam Hrd. Cath. Pros. ap. Ep. Hom. ε 45: ἐνθάδε: γίνεται ἐκ τοῦ ἔνθα τοπικοῦ ἐπιρρήματος ἐπεκτάσει τῆς δε. καὶ ὤφειλεν εἶναι ἔνθαδε· ἀλλὰ κανών ἐστι ὁ λέγων ὅτι τὰ κατὰ φωνὴν παραχθέντα εἰς δε μηδὲν πλέον τοῦ πρωτοτύπου σημαίνοντα πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον τοῖος τοιόσδε, τῆμος τημόσδε, τηνίκα τηνικάδε, ἔνθα ἐνθάδε...vid. et testim. a Dyck allata; exempla e Catholica hausta ap. Theogn. 156.12 (can. 944) Τὰ εἰς -δε ἐπιρρήματα διὰ τοῦ -ε- ψιλοῦ γράφεται, οἷον οἴκαδε, ἄγραδε, ἐνθάδε (acutum paenultimae imposui: ἐνθαδε cod.), τηνικάδε

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa **2** post τότε fortasse excidit ὅτε, cf. Choer. Ep. Ps. 96.35 **3** συμφράσει scripsi: φράσει AV **4** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa **6** φύγαδε Dindorf praef. xv: παλίναδε AV | οἶκον δέ Dindorf: οἶκονδέ AV ἀγρὸν δέ Dindorf: ἀγρόνδέ A: ἀγρὸνδέ V

τοῖς ἐπιρρήμασι· τὸ *ἀγρὸν δέ* τῷ *ἄγραδε*, τὸ *οἶκον δέ* τῷ *οἴκαδε*. τὸ *ἐνθάδε* παροξυνόμενον οὐκ ἀντίκειται· οὐδὲν γὰρ πλέον σημαίνει τοῦ *ἐνταῦθα*, ὥστε περιττὴ ἡ συλλαβὴ οὐδὲ τῆς παραγωγῆς τὸ -α- ἀλλὰ τοῦ πρωτοτύπου. τοιοῦτό ἐστι καὶ τὸ *τηνικάδε* ἀπὸ τοῦ *τηνίκα*. τὰ γὰρ ⟨κατὰ⟩ φωνὴν παραχθέντα εἰς -δε 5 μηδὲν πλέον τοῦ πρωτοτύπου σημαίνοντα πρὸ μιᾶς ἔχει τὸν τόνον· *τοσόσδε*, *τηλικόσδε*, οὕτως οὖν καὶ ἐπὶ τῶν ἐπιρρημάτων, *τημόσδε*, *τηνικάδε*, ⟨*ἐνθάδε*⟩· οὐδὲν γὰρ πλέον δηλοῖ τοῦ *τῆμος*, *τηνίκα*, *ἔνθα*.

2–3 οὐδὲν … ἐνταῦθα] hoc est, significatione ‘in locum’ adverbium ἐνδάθε caret

1 ἀγρὸν δέ Lentz 498.22: ἀγρόνδε AV | οἶκον δέ Lentz 498.23: οἰκόνδε AV **2** οὐδὲν Bloch: οὐδὲ AV **4** τοιοῦτό Bloch: τοῦτό AV **4–5** τηνικάδε scripsi: πηνίκαδε AV: πηνικάδε Dindorf praef. xv **5** τηνίκα scripsi: πηνίκα AV | κατὰ add. Egenolff[2] 245; cf. § **106** et Hrd. Cath. Pros. ap. Ep. Hom. ε 45, l. 21 παραχθέντα Bloch: πραχθέντα AV | -δε Dindorf: δὲ A: om. V **8** τηνικάδε Dindorf praef. xv: τηνίκοσδε A: τηνικόσδε V | ἐνθάδε add. Dindorf praef. xv οὐδὲν A: οὐδὲ V | δηλοῖ A: σημαίνει V **9** τῆμος Dindorf praef. xv: τημὸςδε A: τῆμοσδε V | τηνίκα Dindorf praef. xv: τηνίκαδε AV | ἔνθα Dindorf praef. xv: ἔνθαδε AV

161. Τὰ εἰς -ζε, εἰ μὲν ἔχοι πρὸ τέλους βραχὺ τὸ -α-, τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, οἷον *ἔραζε*, *θύραζε*, *Ἀθήναζε*, *Ὀλυμπίαζε*. τὰ δὲ φύσει μακρᾷ παραληγόμενα προπαροξύνεται ἢ προπερισπᾶται· προπαροξύνεται μὲν ὅσα ἔχει βαρύτονον τὸ πρωτότυπον,
5 ὡς παρὰ τὸ *Οἰνόη* τὸ *Οἰνόηζε*, προπερισπᾶται δὲ τὰ ἀπὸ ὀξυτόνων, ὡς παρὰ τὸ *Ἀχαρναί* τὸ *Ἀχαρνῆζε*, *Κεφαλή* *Κεφαλῆζε*, *χαμαί* *χαμᾶζε*.

1–7 Τὰ…χαμᾶζε] cf. Hrd. Cath. Pros. ap. Ep. Hom. χ 21 χαμᾶζε (Γ 29): ἐπίρρημά ἐστι παρὰ τὸ χαμαί χαμᾶζε. διὰ τί προπερισπᾶται, τοῦ κανόνος λέγοντος ὅτι τὰ εἰς -ζε λήγοντα ἐπιρρήματα τῷ α παραληγόμενα προπαροξύνεται, οἷον θύραζε, Ἀθήναζε, ἔραζε; ὅτι ἐκεῖνα μὲν ἀπὸ ὀνομάτων παρήχθη, οἷον Ἀθήναζε ἀπὸ Ἀθηνᾶς, θύραζε ἐκ τῆς θύρας καὶ ἔραζε ἐκ τῆς ἔρας. τοῦτο δὲ ἐπιρρηματικῶς ἐστιν· ἀπὸ γὰρ τοῦ χαμαί γέγονε χαμᾶζε· καὶ ἴσως ὡς διαλλάξαν πρὸς τὰ ἄλλα περὶ τὸ σημαινόμενον, διήλλαξε καὶ περὶ τὸν τόνον. ἢ καὶ ἄλλως διότι ἐκεῖνα μὲν τὸ α βραχὺ ἔχουσι, τὸ δὲ χαμᾶζε μακρόν. κανὼν γάρ ἐστιν ὁ λέγων· τὰ εἰς -ζε λήγοντα ἐπιρρήματα συνεσταλμένον ἔχει τὸ πρὸ τοῦ τέλους α, οἷον θύραζε, ἔραζε, πλὴν τοῦ χαμᾶζε (vid. et locos ex Etymologicis a Dyck allatos); Hrd. ap. sch. Γ 29b χαμᾶζε: προπερισπᾶται. ἐχρῆν δὲ πρὸς τὸν χαρακτῆρα τρίτην ἀπὸ τέλους εἶναι τὴν ὀξεῖαν συστελλομένου τοῦ α, ὥσπερ τὸ Ἀφίδναζε, Θήβαζε, «ἔραζε» (Μ 156 al.), χωρὶς εἰ μή ἐστιν ἀφορμὴ ὅτι ταῦτα ἀπὸ ὀνομάτων, τοῦτο δὲ ἀπὸ ἐπιρρήματος τοῦ χαμαί. τὸ δὲ «μέταζε» (Hes. Op. 394) χρονικὸν παρὰ πρόθεσιν παρῆκται, vid. et testim.; Hrd. Π. μον. λέξ. 951.27 Χαμᾶζε. οὐδὲν εἰς -ζε λῆγον ἐπίρρημα τῷ α παραληγόμενον προπερισπᾶται, ⟨ἀλλὰ⟩ μόνον τὸ χαμᾶζε· ⟨παραιτοῦμαι⟩ δὲ τοὺς προπερισπῶντας τὸ θύραζε; Eust. Il. I 595.22; de litterae α in paenultima brevitate, cf. etiam Hrd. διχρ. 14.15 Τὰ εἰς -ζε λήγοντα ἐπιρρήματα, ὁπότε ἔχει πρὸ τέλους τὸ α, συνεσταλμένον αὐτὸ ἔχει, Ἀθήναζε, θύραζε, Θήβαζε, ἔραζε. τὸ μέντοι χαμᾶζε ἐκτείνει τὸ α καὶ προπερισπᾶται; Ap. Dysc. adv. 194.18 Τὰ διὰ τοῦ -ζε παραγόμενα ἔχει τὸ α παρεδρευόμενον ἐν βραχεῖ χρόνῳ, Ἄφιδνα Ἀφίδναζε, ἔρα ἔραζε, θύρα θύραζε. σημειωτέον οὖν τὸ χαμᾶζε· καὶ δῆλον ὅτι τῆς Ἀττικῆς ⟨ἐκ⟩τάσεώς ἐστι, καθὸ καὶ τὸ χαμᾶθεν; exempla Herodianea ap. Theogn. 156.14 (can. 945) Τὰ εἰς -ζε ἐπιρρήματα διὰ τοῦ -ε- ψιλοῦ γράφονται, οἷον θύραζε, Ἀθήναζε, ἔραζε, (scripsi: ἐραζε cod.) Θήβαζε (Lentz ad 499.8: φοίβαζε cod.)

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa **3** μακρᾷ Dindorf: μακρὰ AV **6** Ἀχαρναί scripsi: ἀχαρνές AV | Κεφαλή Dindorf (nisi quod κεφαλή dedit, vid. notam proxime sequentem): κεφαλῆ AV | Κεφαλή Κεφαλῆζε sic edidi; Κεφαλή enim pagi nomen est, cf. Harp. 176.1: edebantur κεφαλή κεφαλῆζε **7** χαμαί Dindorf: χαμά AV | χαμᾶζε Dindorf: χαμάζε AV

162. Τὰ εἰς -*σε* τοῖς εἰς -*θεν* ὁμοτονεῖ· ἐπεὶ γὰρ τὸ *πάντοθεν* προπαροξύνεται, διὰ τοῦτο καὶ *πάντοσε*, *ἑτέρωθεν ἑτέρωσε*, *ἀμφοτέρωθεν ἀμφοτέρωσε*. προπερισπᾶται δὲ τὸ *Θριῶσε*, ἐπεὶ καὶ τὸ *Θριῶθεν* ὁμοίως, *ἐκεῖθεν ἐκεῖσε*· τό τε *κυκλόθεν* παροξύνεται, καὶ ἔτι τὸ *κυκλόσε*, *τηλόθεν τηλόσε*. 5

163. Τὰ εἰς -*θεν* πάντα δισύλλαβα μὲν ὄντα πρὸ μιᾶς ἔχει τὸν τόνον, οἷον *νέρθεν*, *πόθεν*, *πρόσθεν*, *τόθεν*, *κεῖθεν*. τὰ δὲ ὑπὲρ δύο συλλαβάς, εἰ ἔχοι πρὸ τοῦ -*θ*- σύμφωνον, τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν· *ὕπερθεν*, *ἔνερθεν*, *ὄπισθεν*.

1–5 Τὰ…τηλόσε] cf. Hrd. Cath. Pros. ap. Ep. Hom. π 88 πάντοσε (Γ 347): *διὰ τί* προπαροξύνεται; τὰ εἰς -σε (-σε mavult iam Dyck idque recepi: ε codd.) λήγοντα ἐπιρρήματα τὴν εἰς τόπον σχέσιν δηλοῦντα ὁμότονα καθεστήκασι τοῖς εἰς -θεν λήγουσιν ἐπιρρήμασιν, οἷον ἑκασταχόθεν ἑκασταχόσε, πάντοθεν πάντοσε …; exempla e Catholica hausta servat Theogn. 156.16 (can. 946) haec: Τὰ εἰς -σε ἐπιρρήματα διὰ τοῦ -ε- ψιλοῦ γράφονται, οἷον ἑτέρωσε, ἐκεῖσε, ὁμόσε (Lentz ad 499.16: ὁμωσε cod.), ἀμφοτέρωσε, ἑκατέρωσε, ἄ⟨λ⟩λοσε (λ add. Lentz l.c.), ἔκτοσε; Hrd. ap. sch. Π 515b … πάντοσε ὡς «πάντοθεν» (N 28 al.)· τὰ γὰρ εἰ⟨ς⟩ -σε ἐπιρρήματα τοῖς εἰς -θεν ὁμοτονεῖ, «ἄλλοθεν» (B 75 al.), «ἄλλοσε» (ψ 184. 204), «ὁμόθεν» (ε 477), «ὁμόσε» (M 24). οὕτως οὖν εἰ «πάντοθεν ἐκ κευθμῶν» (N 28), καὶ «πάντοσε δαιδάλλων» (Σ 479); Ap. Dysc. adv. 194.10 Καὶ τὰ διὰ τοῦ -σε παραγόμενα εἰς τόπον … Χρὴ δὲ νοεῖν, ὅτι πάλιν οἱ αὐτοὶ τόνοι παρέπονται τοῖς προκατειλεγμένοις τῶν εἰς -θεν καὶ τῶν εἰς -θι. ἄλλοθεν ἄλλοθι, εὐθέως καὶ ἄλλοσε· καὶ ἐπεὶ πάντοθεν καὶ πάντοθι, «πάντοσε δαιδάλλων» (Σ 479)· καὶ ἐπεὶ κυκλόθεν κυκλόθι, εὐθέως καὶ τὸ κυκλόσε, ἀγχόσε, τηλόσε; ibid. 205.29 **6–9** Τὰ…ὄπισθεν] exempla e Catholica hausta praebet haec Theogn. 156.19 (can. 947) Τὰ εἰς -θεν ἐπιρρήματα διὰ τοῦ -ε- ψιλοῦ γράφει τὴν [παρα]λήγουσαν (παρα- delevi), οἷον πόθεν, ὅθεν, ἄνωθεν, κάτωθεν; ibid. 156.21 (can. 948) Τὰ εἰς -θεν ⟨δισύλλαβα⟩ (addidi) ἐπιρρήματα τῷ (scripsi: τὸ cod.) -η- παραληγόμενα δύο μόνα ἐστίν· δῆθεν καὶ γῆθεν. τὸ γὰρ κεῖθεν ἐκ τρισυλλάβου τοῦ (τοῦ quod est in cod. neglexit Cramer; vid. Schneider[2] 18) ἐκεῖθεν γεγονὸς ἀφαιρέσει τοῦ ε-, διὰ τῆς -ει- διφθόγγου γράφεται (γρ$^{\alpha}$ neglexit Cramer; vid. Schneider l.c.)

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | τοῖς A: τὴν V | πάντοθεν A: παντόθεν V **3** Θριῶσε Dindorf praef. xvi: ὀθριῶσε AV **4** Θριῶθεν Dindorf praef. xvi: ὀθριῶθεν AV | κυκλόθεν Dindorf: κυκλῶθεν V: κυκλώθεν A **5** κυκλόσε Dindorf: κυκλώσε AV **6** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa **7** post πρόσθεν repetit πόθεν A | κεῖθεν Dindorf: ἐκεῖθεν AV

164. Καὶ τὰ τῷ -ο- παραληγόμενα [προ]παροξύνεσθαι θέλει, πλὴν τῶν ἐχόντων ἐγκειμένην πρόθεσιν ἢ παρ' ὄνομα ἐπιμεριζόμενον παρηγμένων· ταῦτα γὰρ προπαροξύνεται. τὸ μὲν γὰρ *πρόσσοθεν*, *ἔνδοθεν*, *ἔκτοθεν*, *ἀπόπροσθεν* πρόθεσιν ἕκαστον ἔχει,
5 καὶ ἔτι τὸ *πάροιθεν* πλεονάσαν τῷ -ι-· τὸ δὲ *ἄλλοθεν*, *ἑκάστοθεν* ὀνόματα ἔχει ἐπιμεριζόμενα. τὰ δὲ λοιπὰ πάντα παροξύνεται· *ἀγρόθεν*, *οὐρανόθεν*, *Λεσβόθεν*, *Ἀβυδόθεν*, *Ἰλιόθεν*,

1–142,3 Καὶ…προπαροξυνόμενα] simillimus locus est Ep. Hom. ο 48 quippe qui e Catholica petitus sit: οὐρανόθι (Γ 3): … (l. 87) Διὰ τί [προ]παροξύνεται (προ- delevi) (scil. adverbium οὐρανόθι quod eundem habet accentum atque adverbium οὐρανόθεν, vid. § **167**); τὰ εἰς -θεν ἐπιρρήματα τῷ ο παραληγομενα πρὸ μιᾶς τὸν τόνον ἔχουσι, οἷον κυκλόθεν, Ἀβυδόθεν, Ἰλιόθεν, χωρὶς τῶν ἐπιμεριζομένων ⟨ἢ τῶν παρὰ πρόθεσιν παρηγμένων⟩ (lacunam statui et exempli gratia supplevi), οἷον ἑκάστοθεν, ἔκτοθεν, ἔνδοθεν· τούτοις συνεξηκολούθησε καὶ τὸ προπάροιθεν κατὰ πλεονασμὸν τοῦ ι γενόμενον, vid. et locos a Dyck laudatos; fere eadem quamvis aliquanto accuratiora legimus ap. Ap. Dysc. adv. 191.26 Ἐπὶ μέντοι τῶν τῷ ο παρεδρευομένων οὐ ταὐτὸν παρέπεται· σχεδὸν γὰρ ἅπαντα ὀφείλει παροξύνεσθαι. παρὰ βαρυνομένην γὰρ γενικὴν τὴν Λέσβου τὸ Λεσβόθεν παροξύνεται· τῇδε ἔχει καὶ παρὰ τὴν Κύπρον τὸ Κυπρόθεν, Ἀβυδόθεν, οὐρανόθεν, Διόθεν, αὐτόθεν, σχεδόθεν. ἁπάντων τῷ λόγῳ τούτῳ ὑποπιπτόντων ἰδιαίτερον ἐβαρύνθη τὸ οἴκοθεν καὶ ἄλλοθεν (ἔνιοι μὲν γὰρ τὸ παντός πάντοθεν καὶ παρώξυναν)· καὶ παρ' ἐπίρρημα δὲ τὸ ἐκτός τὸ ἔκτοθεν καὶ ἔνδον ἔνδοθεν sqq.; simillimus Apollonio locus est sch. D. Thr. (Vat.) 278.25; paulo aliter Hrd. ap. sch. B 75a ἄλλοθεν: τὸ ἄλλοθεν προπαροξύνεται, ὅτι ἀόριστον τόπον σημαίνει· τὰ γὰρ εἰς -θεν λήγοντα ἐπιρρήματα, ἔχοντα πρὸ τοῦ τέλους τὸ ο μόνον, μὴ ὄντος ἑτέρου συμφώνου, παρωξύνετο, Κυπρόθεν, «Ἀβυδόθεν» (Δ 500). ταῦτα δὲ προπαρωξύνετο, λέγω δὲ τὸ ἄλλοθεν, «πάντοθεν» (Ν 28 al.), «οἴκοθεν» (Η 364 al.), καθότι ἀόριστον καὶ κοινὴν τόπου σημασίαν ἀναδέχεται et Hrd. ap. sch. Ν 28a[1] πάντοθεν ἐκ κευθμῶν: …ταῦτά εἰσι τὰ εἰς -θεν τῷ ο παραληγόμενα καὶ προπαροξυνόμενα, οἴκοθεν ἄλλοθεν ἔνδοθεν ἔκτοθεν ἑκάστοθεν ἀπόπροθεν πάντοθεν, vid. et locos ab Erbse ad utrumque scholium allatos; exempla e Catholica hausta servat haec Theogn. 157.4 (can. 952) Τὰ εἰς -θεν ἐπιρρήματα μὴ ὄντα ἀπὸ τῶν εἰς -ω ληγόντων μήτε ἀπὸ τῶν διὰ τοῦ -τερως ἢ ἀπὸ τῶν εἰς -ως ὀνομάτων, περὶ ὧν ἤδη διείληπται, διὰ τοῦ -ο- μικροῦ γράφεται κατὰ τὴν παραλήγουσαν, οἷον οὐρανόθεν, Ἀβυδόθεν, Ἰλιόθεν, ἄλλοθεν, πάντοθεν, προπάροθεν, καὶ ἐν πλεονασμῷ τοῦ -ι- προπάροιθεν

1 -ο- Lentz 500.4: η AV | προπαροξύνεσθαι] προ- del. Bloch praef. xvi **2** παρ' ὄνομα A: παρόνομα V **3** παρηγμένων Dindorf: παρηγμένον AV **3–4** πρόσσοθεν scripsi: πρόσωθεν AV, quod post § **165** ἔξωθεν transp. Lentz 500.23 **4** ἔνδοθεν V[p.c.] (iam Dindorf): ἔνδωθεν AV[a.c.] | ἀπόπροσθεν A: ἀπόπροθεν V **5** τῷ scripsi: τὸ AV **7** Ἀβυδόθεν V: om. A

ποντόθεν, *αὐτόθεν*, *πρυμνόθεν* καὶ ἄλλα μυρία. (τὸ δὲ *πρύμνηθεν*, τῷ -η- παραληγόμενον, προπαροξύνεται). σημειούμεθα τὸ *οἴκοθεν*, *πάντοθεν*, προπαροξυνόμενα.

165. Τὰ μέντοι τῷ -α- μακρῷ παραληγόμενα ἢ τῷ -η- ἢ τῷ -ω-, εἰ μὲν ⟨τὸ⟩ πρωτότυπον αὐτῶν βαρύτονον ᾖ, τρίτην ἀπὸ τέλους ἔχει 5 τὴν ὀξεῖαν· εἰ δὲ ὀξύτονον, προπερισπᾶται. τῶν μὲν προπαροξυνομέ-

4–143,10 Τὰ…προπερισπᾶται] Hrd. Cath. Pros. ap. Ep. ad A 247 ἑτέρωθεν: διατί προπαροξύνεται; τὰ εἰς -θεν λήγοντα ἐπιρρήματα τῷ ω παραληγόμενα, εἰ μὲν ἀπὸ βαρυτόνου ὀνόματος ἢ ἀπὸ ἐπιρρήματος παράγεται, προπαροξύνεται, οἷον ἕως ἕωθεν, ἄνω ἄνωθεν, ἔξω ἔξωθεν· εἰ δὲ ἀπὸ ὀξυτόνων, προπερισπῶνται, οἷον ἠώς ἠῶθεν· τὰ δὲ παρὰ τοῦτο σπάνια et ap. Ep. Hom. α 66 ἀγορῆθεν (Β 264): διὰ τί προπερισπᾶται; ἐπειδὴ τὰ ἀπὸ ὀξυτόνων ἢ περισπωμένων παραγόμενα εἰς -θεν ἐπιρρήματα πρὸ μιᾶς ἔχουσι τὸν τόνον· γῆθεν, ἀγορῆθεν, vid. et quos locos Dyck attulit; norma de huius modi adverbiorum accentu accentus est genetivi singularis, non nominativi singularis, ap. Ap. Dysc. adv. 191.18 Παρείπετο τοῖς προκειμένοις ἐπιρρήμασιν, εἰ μὲν ἀπὸ ὀνομάτων εἶεν καὶ μὴ τῷ ο παρεδρεύοιτο, τάσις ἡ αὐτή, ⟨ἣ⟩ ἦν κατὰ τὸ τέλος τῆς γενικῆς. τὸ ἀρχῆς περισπᾶται· τῇδε ἔχει καὶ τὸ ἀρχῆθεν. ὁμοίως καὶ Ἰωνικὸν τὸ ἀγορῆς· τῇδε ἔχει καὶ τὸ ἀγορῆθεν. βαρύνεται τὸ Θήβης· τῇδε ἔχει καὶ τὸ Θήβηθεν. ἀλλὰ καὶ τὸ Ἀθήνης Ἀθήνηθεν, σιπύης σιπύηθεν, «ἐκ δ' ἄρτους σιπύηθεν» (Call. fr. 251.1 Pf.). πάλιν τοῦ γῆς περισπωμένου τὸ γῆθεν συμπερισπᾶται. κἂν διὰ τοῦ α, Λυκίας Λυκίαθεν; exempla in -ηθεν e Catholica hausta profert haec Theogn. 157.13 (can. 953) Τὰ εἰς -θεν ἐπιρρήματα ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ -η- γράφεται κατὰ τὴν παραλήγουσαν· ἐξ ἴσου γὰρ ὁ κανὼν παρῃτήσατο τὴν διὰ τοῦ -ι- τε καὶ τῆς -ει- διφθόγγου γραφήν. οἷον Πιερίηθεν, Αἰγίνηθεν, κλισίηθεν, Μυκήνηθεν, Ἴδηθεν. σεσημείωται τὸ ἐκεῖθεν διὰ τῆς -ει- διφθόγγου καὶ τὸ πρωΐθεν διὰ τοῦ -ι- γραφόμενον; in -ωθεν: ibid. 156.24 (can. 949) Τὰ εἰς -ω λήγοντα ἐπιρρήματα προσλαβόντα τὴν -θεν συλλαβὴν διὰ τοῦ -ω- μεγάλου γράφει τὴν παραλήγουσαν, οἷον ἄνω ἄνωθεν, κάτω κάτωθεν, ἔξω ἔξωθεν, πόρρω πόρρωθεν. σεσημείωται τὸ κύκλῳ κυκλόθεν διὰ τοῦ -ο- μικροῦ γραφόμενον, καὶ τούτου ὁ τόνος αἴτιος· τῶν γὰρ λοιπῶν προπαροξυνομένων τῶν ἀπὸ τῶν εἰς -ω, τοῦτο μόνον παροξύνεται· διὸ παραλλάξαν περὶ τὸν τόνον παρήλλαξεν καὶ περὶ τὴν γραφήν; ibid. 156.31 (can. 950) Τὰ ἀπὸ τῶν εἰς -ως ὀνομάτων ἢ ἐπιρρημάτων εἰς -θεν παραγόμενα διὰ τοῦ -ω- μεγάλου γράφεται, οἷον ἕως ἕωθεν, ἠώς ἠῶθεν, ἐσχάρως ἐσχάρωθεν, Θριώ (Lentz 501.4: Θρῖος cod.), ὄνομα δήμου Ἀττικοῦ, Θριῶθεν, προτέρωθεν, ἑκατέρωθεν, ὁποτέρωθεν; ibid. 157.10 (can. 952)… τὸ δὲ Κριῶθεν ἀπὸ τοῦ Κριώαθεν γέγονεν, συγκοπέντος τοῦ α· ἔστιν δὲ ὄνομα δήμου Ἀττικοῦ (nomen pago est Κριώα)

1 ποντόθεν Bloch praef. xvi: παντόθεν AV: possis etiam παντ⟨αχ⟩όθεν | μυρία Dindorf: μύρια AV **4** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa **5** τὸ add. Egenolff[2] 245 αὐτῶν A: αὐτὸ V **6** τῶν A: *ῶν V, lit. τ a rubr. omissa

νων ὑποδείγματα· *πρῷρα πρῴραθεν*, *Φθία Φθίαθεν*, τὸ δὲ *Π⟨ι⟩ερίηθεν* τροπὴν ἔχει τοῦ -*α*- εἰς -*η*-, *Ὀλυμπία Ὀλυμπίαθεν*, *θύρα θύραθεν*, *Ἀφίδνηθεν*, *πρύμνηθεν*, *Ἀθήνηθεν*· (τὸ μέντοι *πρυμνόθεν* παροξυνόμενον, διὰ τοῦ -*ο*-). τῶν δὲ
5 ⟨προ⟩περισπωμένων ὑποδείγματα ταῦτα· *Ὑσιαί*, ⟨προ⟩περισπωμένως *Ὑσιᾶθεν*, *Θεσπιᾶθεν*, *Πλαταιᾶθεν*, [ἔσωθεν] *ἀρχῆθεν* ὅτι *ἀρχή*. *ἔσω ἔσωθεν*, *ἔξω ἔξωθεν*, καὶ ὡς ἀπὸ τοῦ *ἄπω* μὴ εἰρημένου τὸ *ἄπωθεν*. διὰ τοῦτο ἀπὸ μὲν τοῦ *ἕως* βαρυτόνου τὸ *ἕωθεν*, ἀπὸ δὲ τοῦ *ἠώς* ὀξυτονουμένου *ἠῶθεν*
10 προπερισπᾶται.

166. Παρὰ τὸ *ἄνευ ἄνευθεν* φυλάττει τοῦ πρωτοτύπου τὸν τόνον· ὁμοίως *ἄτερ ἄτερθεν*. τὸ *ἐντεῦθεν* προπερισπᾶται παρὰ τὸ *ἐνταῦθα*, καὶ παρὰ τὸ *ἐκεῖ* περισπώμενον *ἐκεῖθεν* προπερισπώμενον. παρὰ τὸ *ἐγγύς* ὀξύτονον *ἐγγύθεν* παροξύτονον. τὸ
15 *ἕκαθεν* καὶ *ἀνέκαθεν* προπαροξύτονα, οὐκ οὖν παρὰ τὸ *ἑκάς* ὀξύτονον γινόμενα.

1 ὑποδείγματα A: ὑπόδειγμα V | Φθία A: φθῖα V **2** Πιερίηθεν Dindorf praef. xvi: περίηθεν AV | -α- A: ει V **3–4** Ἀθήνηθεν V: om. A **4** πρυμνόθεν A: πρημνόθεν V | παροξυνόμενον scripsi: παροξύ A: παροξύνεται V **5** προπερισπωμένων Lentz 500.20: περισπωμένων AV | Ὑσιαί Lentz 500.20: ὑγεῖα AV **5–6** προπερισπωμένως Lentz 500.21: περισπωμένως AV **6** Ὑσιᾶθεν Lentz 500.21: ὑγειᾶθεν AV | Πλαταιᾶθεν Bloch: πλατιᾶθεν AV | ἔσωθεν del. Bloch utpote male e sequentibus repetitum **8** τὸ Dindorf: τοῦ AV **9** τὸ Dindorf: τοῦ AV **12** ἄτερ V: ἄθερ A **13** περισπώμενον V: περισπόμενον A **14** παροξύτονον V: παροξ^υ A **15** ἕκαθεν V (coni. Dindorf praef. xvi): ἔκαθεν A προπαροξύτονα Dindorf: προπαροξ^ύ A: προπαροξύνεται V | οὐκ οὖν A: οὐκοῦν V | ἑκάς V (coni. Dindorf praef. xvi): ἐκάς A

167. Τὰ εἰς *-θι* καὶ εἰς *-σι* τὸν τῶν εἰς *-θεν* ἐπιρρημάτων ἔχει τὸν τόνον, οἷον *οἴκοθεν οἴκοθι, ἀγρόθεν ἀγρόθι, Ὀλυμπίαθεν Ὀλυμπίασιν, Ἀλωπεκῆθεν, Ἀλωπεκῆσιν*. ὅθεν τὴν παράθεσιν αὐτῶν φανερὰν οὖσαν ὑπερβήσομαι. Τὸ *ὥρασι*, «μὴ ὥρασιν / ἵκοιο» (Men. Phasma 43–4 Sandbach?) προπαροξύνεται μὲν εὐλόγως 5 παρὰ βαρύτονον τὸ *ὥρα*, οὐκ ἔχει δὲ προϋποκείμενον εἰς *-θεν*.

1–6 Τὰ…-θεν] Ep. Hom. ο 48 (supra); Ap. Dysc. adv. 192.15 Παράκειται τοῖς εἰς -θεν λήγουσι τὰ ἐν τόπῳ, τοῦ τέλους εἰς τὸ ι μεταλαμβανομένου, παρεπομένης τῆς τάσεως τῆς αὐτῆς καὶ μετὰ μὲν μονῆς τοῦ θ, εἰ τὸ ο προκείμενον εἴη· τὰ γὰρ μὴ οὕτως ἔχοντα καὶ τὸ θ εἰς τὸ ς μεταλαμβάνει. τοῦ μὲν οὖν προτέρου οἴκοθεν οἴκοθι, ἔνδοθεν ἔνδοθι, Ἀβυδόθεν Ἀβυδόθι, οὐρανόθεν οὐρανόθι, τηλόθεν τηλόθι, αὐτόθεν αὐτόθι … τοῦ γε μὴν ἑτέρου ὑποδείγματά ἐστι τοιαῦτα, Θήβηθεν Θήβησιν, Ἀθήνηθεν Ἀθήνησιν, θύρηθεν θύρῃσι; EM α 381; exempla e Catholica hausta affert Theogn. 157.19 (can. 954) Τὰ εἰς -θι ἐπιρρήματα διὰ τοῦ ι γράφεται, καὶ τὴν εἰς τόπον σχέσιν δηλοῖ, οἷον οὐρανόθι, ὑψόθι, αὐτόθι et ibid. 157.21 (can. 955) Τὰ εἰς -σι λήγοντα ἐπιρρήματα διὰ τοῦ -ι- γράφεται καὶ τὴν εἰς τόπον σχέσιν δηλοῖ· οἷον, Ἐρχιᾶσι (Ἑ- Lentz 501.14 haud male: Ἐρχίασι cod.), Πλαταιᾶσιν (scripsi coll. Πλαταιᾶθεν § **165** aliisque locis: Πλατύασιν cod.: Πλατειᾶσιν Lentz 501.15 perperam), Ἀθήνησιν, Ὀλυμπίασιν (Lentz 501.13: Ὀλυμπιᾶσι cod.) et ibid. 157.24 (can. 956) Τὰ εἰς -σι ἐπιρρήματα, εἴτε προπαροξύνοιτο εἴτε προπερισπῷτο, ἔχει τὴν πρὸ τέλους ἢ διὰ μακροῦ τοῦ -α- ἢ διὰ τοῦ -η-· σπανίως δὲ καὶ διὰ τοῦ -ω-, ὡς ἔχει τὸ Θριῶσιν (Lentz 501.15: Θρίωσιν cod.)· οἷον Ἀθήνησι, Θριᾶσι (Lentz 501.15 recte pro codicis Θρίασι; nam ab oxytono primitivo Θριά descedit; cf. Arc. 112.9. Θριά etiam ap. St. Byz. θ 59, p. 250.1 Billerbeck–Zubler, reponendum) θύρασι, Θήβησι

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa **2–3** Ὀλυμπίαθεν Ὀλυμπίασιν Dindorf praef. xvi: ὀλυμπιᾶθεν ὀλυμπιάσιν A: ὀλυμπιάθεν ὀλυμπιάσιν V **3** Ἀλωπεκῆθεν Goettling 351: ἀλωπήκηθεν AV | Ἀλωπεκῆσιν Lentz 501.14: ἀλωπήκησιν AV **4** ὥρασι Dindorf: ὤρασι AV | ὥρασιν Dindorf: ὤρασιν AV **5** ἵκοιο scripsi: οἴκοιο AV: ἵκοισθε Dindorf praef. xvi (=Ar. Lys. 1037) **6** βαρύτονον scripsi: βαρυτόνου AV | ὥρα Dindorf: ὤρα AV

168. Τὰ εἰς *-οι* ἐπιρρήματα, ὅτε δηλοῖ τὴν ἐν τόπῳ ἢ τὴν εἰς τόπον σχέσιν, ὑπὲρ δύο συλλαβὰς ὄντα περισπᾶται· *Μεγαροῖ*, *Φρεαρ⟨ρ⟩οῖ*, *Παιαν⟨ι⟩οῖ*, *Ἀθμονοῖ*, *ἑκασταχοῖ*, *οὐδαμοῖ*, *ἐνταυθοῖ*, ⟨ὃ⟩ τὴν αὐτὴν ἔχει σημασίαν τῷ *ἐνταῦθα*, τῷ πρωτο-
5 τύπῳ. τὰ δὲ δισύλλαβα τῶν εἰς *-οι* βαρύνεται καὶ περισπᾶται. περισπᾶται μέν, ὅτε ἔχει πρωτότυπον ὀξύτονον· παρὰ τὸ *Σφηττός* *Σφηττοῖ*, *Ἰσθμός Ἰσθμοῖ*, *βυθός βυθοῖ*, τὸ *ἁρμοῖ* συμπερισπᾶται τῷ *ἁρμῷ*. τὰ δὲ ἀπὸ βαρυτόνων βαρύνεται· *ἔξω ἔξοι*, *πέδον πέδοι*, «πέδοι δὲ βᾶσαι» Αἰσχύλος Προμηθεῖ Δεσμώτῃ

1–146,2 Τὰ…οἴκοι] simillimi nostro sunt loci hi: sch. (Vat.) D. Thr. 278.1=430.23 Τὰ δὲ εἰς -οι ὑπὲρ δύο συλλαβάς, τῶν πρωτοτύπων οἱονδήποτε τὸν τόνον ἐχόντων, περισπῶνται, Μεγαροῖ Ἰκαροῖ ἐνταυθοῖ· τὰ δὲ δισύλλαβα πρὸς τὰ πρωτότυπα τονοῦνται· ὀξυνομένων γὰρ περισπᾶται, βαρυνομένων δὲ βαρύνεται, οἷον Ἰσθμός Ἰσθμοῖ, Πυθώ Πυθοῖ, ἔνδον ἔνδοι (Theocr. 15.1, 15.77) πέδον πέδοι, μέσον μέσοι et sch. h (=M[1]P[11]U[4]) ad **Φ** 122: ἐνταυθοῖ· Διονύσιος ὁ Θρᾷξ (fr. 7 Linke), Τίμαρχος καὶ Ἀριστοτέλης ἐνταῦθοι ὁμοίως τῷ ἐνταῦθα προπερισπωμένως ἀνέγνωσαν. χρὴ δὲ περισπᾶν τὴν προκειμένην λέξιν ἅτε δὴ καὶ τοῦ χαρακτῆρος ἐπικρατοῦντος· τὰ γὰρ εἰς -οι λήγοντα τοπικὰ ἐπιρρήματα ὑπὲρ δύο συλλαβὰς πάντα περιεσπάσθη, μεσαβοῖ, πανταχοῖ, Φρεαρροῖ· διὸ καὶ τοῦτο δικαίως περισπασθήσεται τῷ χαρακτῆρι πειθόμενον; alia ratione huiusmodi adverbia tractat Ap. Dysc. adv. 176.27; e Catholica exempla haec attulit Theogn. 157.28 (can. 957) Τὰ εἰς -οι λήγοντα ἐπιρρήματα τοπικῆς ἐχόμενα σχέσεως διὰ τῆς -οι διφθόγγου γράφεται καὶ περισπᾶται· οἷον Μεγαροῖ, Φρεαρ⟨ρ⟩οῖ (addidi), Πειραιοῖ, Παιαν⟨ι⟩οῖ (addidi), πανταχοῖ, μηδαμοῖ, ἑκασταχοῖ (ἐ- cod.); de ἁρμοῖ, cf. Et. Gen. α 1197 Ἁρμῷ· σημαίνει δὲ τὸ ἀρτίως· σὺν τῷ ι γράφεται· ἔστι γὰρ ὁ ἁρμός τοῦ ἁρμοῦ τῷ ἁρμῷ καὶ λοιπά· αὕτη ἡ δοτικὴ μετῆλθεν εἰς ἐπιρρηματικὴν σύνταξιν καὶ ἐφύλαξεν τὴν αὐτὴν γραφήν, οἷον «ἁρμῷ ἔγραψα» ἀντὶ τοῦ ἀρτίως. ὁ δὲ Τεχνικὸς (Hrd., Lentz II 478.24) λέγει, ὅτι δείκνυσι καὶ ἐκ τῶν Συρακουσίων διὰ τοῦ ι γραφόμενον· ἐκεῖνοι γὰρ ἁρμοῖ λέγουσι κατὰ συστολὴν τοῦ ω εἰς τὸ ο, οἷον ὡς παρὰ Καλλιμάχῳ (fr. 383.4 Pf.)· «ἁρμοῖ γὰρ Δαναῶν γῆ ὡς ἀπὸ † βουγενέσθαι», ἀντὶ τοῦ ἀρτίως. Χοιροβοσκός, vid. et locos a L.–L. indicatos; similia Eust. Il. I 215.26

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | -οι Dindorf: ος AV | ὅτε V (iam Dindorf): ὅτι A **3** Φρεαρροῖ Dindorf praef. xvi: Φρεαροῖ Lentz 502.5, simplici -ρ-, coll. Steph. Byz. 671.13 s.v. Φρέαροι, sed ap. Stephanum pro -ρ- ubique scribendum est -ρρ-; cf. Threatte II 367 | Παιανιοῖ Dindorf praef. xvi | Ἀθμονοῖ Dindorf: ἀδμονοῖ AV: Ἁθμονοῖ (spirit. aspero) Lentz 502.5, sed cf. Threatte II 367–8 ἑκασταχοῖ V: om. A **4** post ἐνταυθοῖ add. ὃ Bloch | ὃ add. Bloch praef. xvi τῷ[1] A: τὸ V **5** -οι Dindorf: ου AV **6** ὀξύτονον Dindorf: ὀξ[υ] A: ὀξυνόμενον V **6–7** Σφηττός Σφηττοῖ scripsi: σφίγξ σφιγγοῖ AV **9** βᾶσαι ex Aesch. restituit Lentz 502.15: βάσαι AV | Δεσμώτῃ V (per compend. δεσμ[ῶ]): δεσμῷ A

(272), *ἔνδον ἔνδοι*, «ἔνδοι Πραξινόα» Θεόκριτος (15.1), *οἶκος οἴκοι*.

1 Πραξινόα Dindorf: πραξίνοα ὁ A: πρᾶξιν ὁ V

169. Τὰ δὲ σχετλιαστικὰ τῶν εἰς *-οι* καὶ εἰς *-αι* ἄλογον ἔχει τὸν

1–148,1 Τὰ…τόνον] Theogn. 158.27 (can. 959)… ὁ δὲ περὶ ταῦτα τόνος ἀμφίβολος· οἱ μὲν γὰρ ὀξύνουσιν αὐτά, οἱ δὲ περισπῶσιν· ἄλογοι γὰρ αὐτῶν λυπουμένων ἢ μεθυόντων φωναί, καθὼς εἴρηται **1–148,6** Τὰ…παπαῖ] cf. Hrd. Π. μον. λέξ. 933.18 Χαμαί. οὐδὲν εἰς -αι λῆγον ἐπίρρημα ὑπὲρ μίαν συλλαβὴν ὀξύνεται, ⟨ἀλλὰ μόνον ἕν⟩, λέγω δὴ τὸ χαμαί, ⟨οὐκ ὂν σχετλιαστικόν⟩. τὰ δὲ τοιαῦτα ⟨καὶ ὀξύνεται, εὐαί, βαβαί, καὶ⟩ περισπᾶται, ἀταταῖ, αἰαῖ, παπαῖ…; sch. (Vat.) D. Thr. 278.6 Τὰ ⟨εἰς οι⟩ σχετλιαστικὰ περισπᾶται τῶν εἰς -αι περισπωμένων, οἷον ἀτταταῖ ὀττοτοῖ, αἰαῖ οἰοῖ [ὤμοι οἴμοι]. τὸ ὦ πόποι σημειῶδες, παπαῖ γὰρ περισπᾶται· ἐνομίσθη γὰρ ὡς ὄνομα εἶναι, διὸ καὶ ὀνοματικὴν ἔλαβε τάσιν· ὡς γὰρ ὦ φίλοι, ὦ θεοί, οὕτως ὦ πόποι· ἔστι δὲ δύο σχετλιαστικὰ ἐπιρρήματα; Theogn. 158.1 (can. 958) Τὰ εἰς -οι σχετλιαστικὰ δικατάληκτα διὰ τῆς -οι διφθόγγου γράφεται. εἶπον δὲ «δικατάληκτα», ἐπεὶ ταῦτα καὶ διὰ τῆς -οι, καὶ διὰ τῆς -αι διφθόγγου γράφεται· ὀτοτοῖ (ὀτοτοὶ cod.) καὶ ὀτοταῖ (ὀτοται cod.), οἰοῖ (οἰοί cod.) αἰαῖ (Schneider[2] 18: αἰαι cod.; οἰαί dedit Cramer perperam), αἰβοῖ (αἰβοι cod.) αἰβαῖ (αἰβαι cod.). οἴμοι (οἶμοι cod.) καὶ ὤμοι (ὦμοι cod.), οὐ περὶ τὴν λήγουσαν, ἀλλὰ περὶ τὴν ἄρχουσαν τὸ διττὸν ἦν· τὸ (διττὸν ἦν. τὸ Lehrs[3] 119: διττόμηστο cod.) ὦ πόποι δυσὶ τόνοις χρησάμενον ἔμφασιν ἐδίδου ὡς ἄρα δύο μέρη λόγου εἰσιν. Ἀρίσταρχος δέ φησιν ἀπίθανον εἶναι τὸ τὸν Δία ὦ πόποι λέγειν. ἀλλ' ἐπεὶ ἔδει (ἐπεὶ ἔδει Lehrs l.c.: ἐπειδὴ cod.) τὸ πόποι σχετλιαστικὸν ὑπάρχον (ὑπάρχων cod.) [καὶ] (del. Lehrs l.c.) ἄνευ τοῦ ὦ λέγεσθαι (Lehrs l.c.: λέγεται cod.) ⟨καὶ⟩ (add. Lehrs l.c.) ἐπεὶ παράκειται αὐτῷ τὸ παπαῖ (παπαί cod.), ὥστε, εἰ μὴ ὀνοματικόν ἐστιν, ὀφείλει περισπᾶσθαι, ὡς εἶναι δύο περισπωμένας ὦ ποποῖ (πῶποι cod.), λέγομεν [δὲ] (del. Lehrs l.c.) βαρύνεσθαι αὐτὸ ὡς τὸ ὦ φίλοι, ἐκ τοῦ ὑπολαβεῖν ὄνομα εἶναι τὸ πόποι. Σκύθαι γὰρ τὰ παρ' αὐτοῖς ἀγαλμάτια πόπους καλοῦσιν, καθὼς Ἡρωδιανὸς ἐν τῇ Καθόλου. καὶ αὖθις ὁ αὐτὸς περὶ τῶν αὐτῶν φησιν ὡς οὐ δεῖ τὰ σχετλιαστικὰ τῶν ἐπιρρημάτων [εὐκτικά] (del. Lehrs l.c.), οἱονεὶ βακχικὰ ὄντα, ὑπὸ τὴν ἔντεχνον ἀκολουθίαν ἄγειν, εἴγε οὐδὲ μέρη λόγου τινὲς εἶναι ταῦτα ἐνόμισαν. πασχούσης γὰρ ψυχῆς ἢ διακόρου ὑπὸ οἴνου οὔσης ἄλογοι δῆλον ὅτι καὶ αἱ ἐκφωνήσεις αὐτῆς. διὸ καὶ ἐπ' αὐτῶν ἔσθ' ὅτε τὸ δασὺ πνεῦμα ἀλόγως ἐν τῇ ληγούσῃ συλλαβῇ ὁρᾶται, ὡς ἔχει τὸ εὐοῖ, εὐἅν, εὐἕν. τὸ γὰρ λέγειν ὅτι «εὖ σοι ἦν» κατ' ἔλλειψιν τοῦ σ- γέγονεν εὐοῖ κατὰ συγκοπήν, ἀμφίβολον, εἰ μὴ ἄρα παρὰ τὸ εὐοῖ (εὐοι cod.) ὁ Εὔϊος παρῆκται; Ap. Dysc. adv. 127.30 καθάπερ οὖν τῷ πόποι τὸ παπαῖ (παπαῖ scripsit Lehrs pro codicis scriptura παπαί renuente Schneidero Gr. Gr. II.I fasc. II p.148 iniuria; nam locus Catholicae 503.7 Lentz ἡ δὲ συνήθεια ὀξύνει τὸ παπαί καὶ ἀταταί, quo Schneider nititur, e loco spurio Arcadii 208.19 me iudice sumptus est, vid. praef.) παράκειται καὶ τῷ ὀτοτοῖ τὸ ἀταταῖ; ibid. 177.2 Καὶ ἕνεκα τοῦ τύπου καὶ τὸ πόποι (scil. σεσημειώσεται quippe quod non circumflectatur), ὦ πόποι· καὶ γὰρ τὰ πρωτότυπα θέλει ὁπωσδήποτε

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa

τόνον. ἃ μὲν γὰρ αὐτῶν περισπᾶται, ὡς τὸ *ὀτ⟨ο⟩τοῖ* ἔχον συμπαρακείμενον καὶ τὸ *ἀτταταῖ* καὶ τὸ *οἰοῖ* καὶ *αἰαῖ αἰβοῖ* τε καὶ τὸ *αἰβαῖ*. καὶ τὸ *σαβαῖ* παρ' Εὐπόλιδι ἐν Βάπταις (fr. 94 K.–A.). τὸ δὲ *εὐαί* παρὰ τῷ αὐτῷ ὀξύνεται· «εὐαὶ σαβαῖ» (fr. 94 K.–A.). βαρύνεται δὲ τὸ *οἴμοι*. τὸ δὲ *ὦ πόποι* δυσὶ τόνοις χρῆται· ἔδει δὲ αὐτὸ δύο 5 περισπωμένας ἔχειν, ἐπεὶ καὶ παράκειται αὐτῷ τὸ *ὦ παπαῖ*.

170. Καὶ τὸ *⟨ἰ⟩ατταταῖ* δὲ περισπᾶται καὶ τὸ *⟨ἀπ⟩παπαῖ*. Τὸ δὲ *χαμαί* ὀξύνεται οὐκ ὂν σχετλιαστικόν. τὸ δὲ *πάλαι* χρονικὸν βαρύνεται καὶ συντιθέμενον προπαροξύνεται· *πρόπαλαι*, *τρίπαλαι*. 10

171. Ὀλίγα ἐστὶν εἰς *-ευ*. τὸ μὲν *εὖ* περισπᾶται καὶ τὸ *φεῦ*· καὶ τὸ *ἄνευ* βαρύνεται καὶ τὸ *ὑπέρφευ* συντεθέντα. καὶ τὸ *ἐλελεῦ* περισπᾶται.

περισπᾶσθαι, ὡς ἔχει τὸ οἰμοιμοῖ καὶ τὸ ὀτοτοῖ καὶ τὸ οἰοιοῖ —Φαίνεται ὅτι καὶ τὸ εὐοῖ κατὰ τοῦτο σεσημειώσεται; de ὦ πόποι Ep. Hom. ω 1 cum testim.
5 οἴμοι] cf. § **18** **7–10** Καὶ…τρίπαλαι] Theogn. 158.25 (can. 959) Τὰ εἰς -αι λήγοντα ἐπιρρήματα ὑπὲρ μίαν συλλαβήν, ὧν καὶ τὰ σχετλιαστικὰ τὰ πλείω ἐστι, διὰ τῆς -αι διφθόγγου γράφεται, οἷον αἰαῖ, ἀτταταῖ, παπαῖ (circumflexum omnibus imposui coll. loco nostro: acutum cod.). ὁ δὲ περὶ ταῦτα τόνος ἀμφίβολος· οἱ μὲν γὰρ ὀξύνουσιν αὐτά, οἱ δὲ περισπῶσιν· ἄλογοι γὰρ αὐτῶν λυπουμένων ἢ μεθυόντων φωναί, καθὼς εἴρηται (hoc est, in can. 958). χαμαί· τοῦτο ὀξύνεται, ὡς καὶ τὸ νυμαί, ὑμαί. τὸ μέντοι πάλαι χρονικὸν βαρύνεται καὶ ἐν τῇ συνθέσει προπαροξύνεται· ἔκπαλαι, πρόπαλαι. ὁμοίως καὶ τὸ ὕπαι βαρύνεται, λέγεται δὲ καὶ ὕπαιθα κατ' ἐπέκτασιν τῆς -θα συλλαβῆς. σημειωτέον δὲ ὅτι τὰ μὲν χρονικὰ βαρύνεται ὡς τὸ πάλαι [ὕπαι] (delevi), τὰ δὲ σχετλιαστικὰ περισπᾶται, τὰ δὲ λοιπὰ ὀξύνεται; Hrd. Π. μον. λέξ. 933.18 Χαμαί. οὐδὲν εἰς -αι λῆγον ἐπίρρημα ὑπὲρ μίαν συλλαβὴν ὀξύνεται, ⟨ἀλλὰ μόνον ἕν⟩, λέγω δὴ τὸ χαμαί, ⟨οὐκ ὂν σχετλιαστικόν⟩. τὰ δὲ τοιαῦτα ⟨καὶ ὀξύνεται, εὐαί, βαβαί, καὶ⟩ περισπᾶται, ἀταταῖ, αἰαῖ, παπαῖ. τὸ δὲ πάλαι βαρύνεται. λέγεται τὸ αἴτιον ἐν τῷ περὶ ἐπιρρημάτων **11–13** Ὀλίγα…περισπᾶται] de εὖ, φεῦ, ἐλελεῦ vid. supra § **145** cum nota; de εὖ cf. etiam Ap. Dysc. adv. 200.29; φεῦ attigit sch. (Marc.) D. Thr. 431.33

1 ὀτοτοῖ Dindorf coll. Ap. Dysc. adv. 127.31: ὀττοῖ AV **2** αἰαῖ…τε scripsi: αἰᾶσαι βοῖτε AV: αἰαῖ σαβοῖ τε Bloch **4** εὐαί A: εὖαί V | τῷ V: τὸ A | σαβαῖ Lentz 502.22: σαβαί AV **6** ὦ παπαῖ scripsi coll. Ap. Dysc. adv. 127.30 et sch. α 32a1 (vid. et locos a Pontani allatos): ἀππαπαῖ AV **7** ἰατταταῖ Lehrs[2] 96 coll. sch. (Ioh. Tzetz.) Lycophr. 31 Scheer (conferre possis etiam sch. (Marc.) D. Thr. 431.21 sqq.; ἰατταταῖ perinde ac ἰατταταιάξ in § **185** ex Ar. Eq. 1 sumpta sunt): ἀτταταῖ AV | ἀππαπαῖ Lehrs[2] 96: παπαῖ AV **11** Ὀλίγα A: *λίγα V, lit. o a rubr. omissa | καὶ[2] A: om. V **12** καὶ[2] V: om. A

172. Τὰ εἰς -ει δίφθογγον λήγοντα ⟨δισύλλαβα⟩ ἐπιρρήματα ὀξυνόμενα δύο ἐστί, τὸ *αἰεί* καὶ τὸ *ἐπεί* χρονικόν· «ἐπεὶ δὴ λίπε δῶμα Καλυψοῦς» (θ 452). ἔστι γὰρ ὁ *ἐπεί* καὶ σύνδεσμος. βαρύτονα δὲ τὸ *ἄγρει*, ὃ κατὰ συνεκδρομὴν τοῦ ῥήματος πληθυντικῶς εἴρηται·
5 «ἄγρειθ', αἱ μὲν δῶμα κορήσατε» (υ 149)· καὶ ἔτι τὸ *οἴκει* παρὰ Μενάνδρῳ (fr. 499 K.–A.) ἀντὶ τοῦ *οἴκοι*. περισπώμενα δὲ τοπικὰ Δώρια· *τηνεῖ*, *τουτεῖ*, [*πεῖ*], *αὐτεῖ*. τὸ δὲ *ἐκεῖ* ἀποκέκοπται.

1–7 Τὰ…ἀποκέκοπται] cf. Hrd. Cath. Pros. ap. Ep. Hom. α 303, l. 14 Εἰσὶ δὲ εἰς ει λήγοντα ἐπιρρήματα καὶ βαρυνόμενα, τὸ ἄγρει καὶ τὸ οἴκει, οὐκ ὄντα γνήσια. τὸ μὲν γὰρ οἴκει κατὰ μεταπλασμὸν τοῦ οἴκαδε. τὸ δὲ ἄγρει τῷ ἄγε πλησιάζει μέν, ⟨ὃ⟩ συμπέπτωκε ⟨τῷ⟩ προστακτικῷ ῥήματι. τὸ δὲ ἄγρει Δωρικῶς ἄγει λέγεται, καὶ ἔστιν ὡς προστακτικὸν ἐπίρρημα, καὶ τὸ πληθυντικὸν ἄγειτε φασί· καὶ ὁ ποιητὴς «ἄγρειθ' αἱ μὲν δῶμα κορήσατε» (υ 149)· ὁ δέ γε Ἀντίμαχος «ἄργειτε» (fr. 123) ἔφη ὑπερβιβάσας τὸ ρ. καὶ ταῦτα μὲν τὰ βαρυνόμενα. τὰ δὲ ὀξυνόμενα δύο· τὸ ἀεί καὶ ἐπεί, «ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν» (α 2)· τὸ τηνεῖ τουτεῖ αὐτῇ ὡς Δωρικὰ περισπᾶται· τὸ δὲ ἐκεῖ οὐ Δώριον, περισπᾶται δὲ διὰ τὴν ἀποκοπὴν τοῦ ἐκεῖθεν, ὅπερ καὶ κατὰ πάθος μονοσύλλαβον γέγονεν κεῖ et ap. Ep. Hom. α 98 αἰεί (Β 400), l. 59 τὰ δὲ εἰς -ει δισύλλαβα ἐπιρρήματα ὀξυνόμενά εἰσι· σεσημείωται τὸ ἄγρει καὶ τὸ ἐκεῖ καὶ τὸ κεῖ, ὅπερ ἐστὶν ἐξ ἀποκοπῆς (vid. et locum a Dyck allatum); Hrd. Cath. Pros. ap. Theogn. 159.4–11 (canones 960, 961) Τὰ εἰς -ει δισύλλαβα, εἴτε βαρύτονα, εἴτε περισπώμενα, διὰ τῆς -ει διφθόγγου γράφεται, σπάνια δὲ τὰ παραδείγματα, ὡς ἔχει τὸ ἄγρει παρακελευσματικὸν ἐπίρρημα, καὶ τὸ οἴκει ἀπὸ τοῦ (τοῦ est in cod., non τό; vid. Schneider[2] 18) οἴκοι γεγονὸς κατὰ τροπὴν τοῦ ο εἰς ε. τὰ γὰρ Δωρικῶς παρηγμένα καὶ περισπᾶται καὶ διὰ τῆς -ει διφθόγγου γράφεται· τουτεῖ, τινεῖ, αὐτεῖ, ἐκεῖ κατὰ ἀποκοπὴν (verba κατὰ ἀποκοπήν huc transposui: post τὰ vocabulum sequens scriptum erant). τὰ εἰς -ει λήγοντα ἐπιρρήματα διὰ τῆς -ει διφθόγγου γραφόμενα (γρ^{α} cod.) ⟨ὀξυνόμενα⟩ (addidi) δύο ἐστίν· τὸ ἐπεί χρονικὸν καὶ τὸ ἀεί; adverbia Doriensium propria αὐτεῖ, τουτεῖ circumflexa attigit et Ap. Dysc. synt. 337.11, 484.7; ἐκεῖ decurtatum esse ex ἐκεῖθι et ἐκεινόθι statuit Ap. Dysc. adv. 209.5 **2–3** ἐπεί…σύνδεσμος] vid. § **204**; cf. Ap. Dysc. coniun. 245.17, unde Ep. Hom. ε 163, ll. 18–22

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | δίφθογγον Dindorf: δφ^{θ} A: διφθόγγῳ V δισύλλαβα addidi coll. Ep. Hom. α 98 et § **144** **2** ἐπεί A: ἐπί V **4** ὃ V: ὁ A **5** ἄγρειθ'] sic, proparoxytonon, in AV **7** πεῖ delevi utpote monosyllabum, cf. § **144**

173. Τὰ διὰ τοῦ -ι ἐπεκτεταμένα δεικτικῶς ὀξύνεται· *δευρί, νυνί, τουτί, ὡδί, ἐνθαδί, ἐντευθενί*. τὸ *κοΐ* μίμημά ἐστι φωνῆς ἀλόγου ζώου.

174. Καὶ τὰ παρωνύμως παρηγμένα ὀξύνεται, ἅπερ τινὲς διὰ τῆς -ει διφθόγγου, τινὲς δὲ διὰ τοῦ -ι γράφουσι μακροῦ· *ἄπνευστος* 5 *ἀπνευστί*.

1–3 Τὰ…ζώου] cf. Hrd. Cath. Pros. ap. Ep. Hom. ο 23 ll. 57–62 et ap. Ep. Hom. ν 6, ll. 75–82, vid. et locos ad utrumque epimerismum a Dyck laudatos; exempla e Catholica attulit haec Theogn. 159.14 (can. 962) Τὰ δεικτικῶς ἐπεκτεινόμενα διὰ τοῦ -ι γράφεται, οἷον ὡδί, ὁδί, δευρί, νυνί, οὑτωσί, ἐκεινοσί **4** Καὶ…ὀξύνεται] cf. Theogn. 159.18 (can. 963) Τὰ παρ᾽ ὄνομα εἴς τι (εἴς τι hoc loco habet codex; vid. Schneider[2] 18) παρηγμένα ἐπιρρήματα διὰ μακροῦ τοῦ -ι γράφονται (γρ[α] cod.) καὶ ὀξύνονται, οἷον ⟨ἀν⟩αιμωτί (αν- add. Lentz 505.6), ἀκλαυστί, ἀνιδρωτί, ἀγελαστί, ἀπηρωτί, ἀπνευστί, αὐτονυχί, ἀπαυστί; Ap. Dysc. adv. 161.4 Τὰ εἰς -ι λήγοντα ἐπιρρήματα, παραγωγὰ ὄντα, ὀξύνεται. Καὶ ἀπὸ ὀνομάτων μὲν παραγόμενα, ταῖς τούτων γενικαῖς ἰσοσυλλαβεῖ, καὶ ἔστιν ἐν ἐκτάσει τοῦ ι. παρὰ τὴν ἀθεώρητος καὶ τὴν ἀθεωρήτου τὸ ἀθεωρητί, ἀκονιτί, ἀμογητί, ἀκλαυτί, πανθοινί

1 ἐπεκτεταμένα V (iam Dindorf): ἐπεκταμένα A **2** ὡδί Dindorf: ὠδὶ AV ἐνθαδί Dindorf: ἐνθανὶ AV | κοΐ Dindorf coll. Ar. Ach. 780: κόι AV

175. Τὰ δὲ εἰς βραχὺ -*ι* καταλήγοντα δισύλλαβα ὄντα βαρύνεσθαι θέλει· *αὖθι, νόσφι, ἄγχι, ἄρτι, ἦρι, ὕψι, ἦχι, ναίχι*. ἐχρῆν δὲ καὶ τὸ *οὐχί* βαρύνεσθαι, νῦν δὲ παραλόγως ὀξύνεται. τὸ δέ «*χῶρι* διατμήγουσι» (Call. fr. 302.2 Pf.) βαρύνεται.

1–4 Τὰ…βαρύνεται] cf. Hrd. Cath. Pros. ap. Ep. Hom. ν 6, l.75 βαρύνεται τὸ νόσφι· κανὼν γάρ ἐστιν ὁ λέγων· τὰ εἰς -ι λήγοντα ἐπιρρήματα, συνεσταλμένον ἔχοντα τὸ ι βαρύνεσθαι θέλουσιν, οἷον αὖθι, νόσφι, ἶφι, ναίχι, ἦχι· ὅθεν καὶ τὸ ΠΡΩΙ ἀναλογώτερόν ἐστι παρὰ τῷ ποιητῇ βαρυνόμενον, οἷον «πρῶϊ δ' ὑπηοῖοι» (Θ 530 alibi)· τὸ δὲ χωρίς ἀποβάλλον τὸ σ διὰ τὸν κανόνα βαρύνεται … τὸ αρι καὶ ερι ἐπιτατικὰ ἐπιρρήματα συνεσταλμένον ἔχοντα τὶ ι καὶ μὴ βαρυνόμενα οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐδέποτε ταῦτα εὑρίσκεται αὐτὰ καθ' ἑαυτά, ἀλλ' ἀεὶ ἐν συνθέσει, ὡς τὸ ἐριβρεμέτης καὶ ἀριδείκετος. τὸ δὲ οὐχί ὤφειλε βαρύνεσθαι, ἀλλ' ἐπειδὴ ἐκ τῆς οὔ ἀρνήσεως γέγονε κατ' ἐπέκτασιν τῆς χι συλλαβῆς· τὸ δὲ οὔ παραλόγως ὠξύνθη· ὤφειλε γὰρ περισπᾶσθαι, ἐπειδὴ πᾶσα δίφθογγος τελικὴ εἰς {o}υ λήγουσα, καὶ τὰ ἑξῆς· ἐπειδὴ οὖν παραλόγως ὠξύνθη πρὸ τῆς ⟨ἐπ⟩εκτάσεως, τούτου χάριν καὶ μετὰ τὴν ἐπέκτασιν παραλόγως ὠξύνθη; paulo brevius Hrd. Cath. Pros. ap. Ep. Hom. ο 23, ll. 57–69; brevissime Ep. Hom. ε 169; exempla e Catholica hausta servat Theogn. 159.21 (can. 964) Τὰ εἰς -ι λήγοντα δισύλλαβα βαρύτονα ἐπιρρήματα διὰ βραχέος (scripsi: βραχύ cod.) τοῦ -ι γράφονται, οἷον ἶφι (Lentz ad 505.12: ἴφι cod.), νόσφι, αὖθι, ἄγχι, μέχρι, ἄχρι, κεῖθι, πόθι, ἄρτι, ἔτι, ἦρι (scripsi: ἤρι), ὕψι, ναίχι, ἦχι (ἦ- ego: ἤ- cod.)· οἷς ὅμοιον κατὰ γραφὴν οὐ κατὰ τόνον τὸ οὐχί ἢ οὐκί. λέγεται γὰρ ἀμφότερα. διὸ καὶ τὸ χωρίς μετὰ μὲν τοῦ -ς γραφόμενον ὀξύνεται, ἀποβαλὸν δὲ τὸ -ς βαρύνεται. σεσημείωται τὸ πρωΐ ὀξυνόμενον. τὸ γιγγρί ἐπιφώνημά τι ὂν ἐν καταμωκήσει λεγόμενον, εἰ ὠξύνετο (ὠ- Lentz 506.8: ὀ- cod.), οὐκ ἄτοπον· ἀπαρασχημάτιστον γάρ ἐστιν; aliter Ap. Dysc. adv. 162.21; de χῶρι cf. etiam Ap. Dysc. adv. 138.15 τὸ χωρίς, ἀποβαλὸν τὸ -ς, οὐκ ἐφύλαξε τὴν ἐπὶ τοῦ τέλους ὀξεῖαν, ἀνεβίβαζε δέ, οὐχ ὑποπῖπτον τῇ ὀξύτητι τῶν εἰς -ι ληγόντων ἐπιρρημάτων, ἐν τῷ «χῶρι διατμήγουσιν» (Call. fr. 302.2 Pf.); propius ad nostrum locum accedit Choer. II 329.16 τὰ γὰρ ἀποβάλλοντα τὸ -ς, ἐὰν φυλάξωσι τὸ αὐτὸ σημαινόμενον, ⟨καὶ⟩ τὸν αὐτὸν τόνον φυλάττουσιν, οἷον πολλάκις πολλάκι, μέχρις μέχρι· δεῖ προσθεῖναι «εἰ μὴ χαρακτὴρ κωλύσῃ», διὰ τὸ χωρίς χῶρι, τὸ γὰρ χῶρι βαρύνεται πρὸς τὸν χαρακτῆρα τοῦ νόσφι αὖθι ἶφι ἄρτι ἄγχι ἦχι; Eust. I 188.26

1 ὄντα A: ὀνόματα V **2** ἦρι AV$^{p.c.}$: ἦρα V$^{a.c.}$ | ἦχι Lentz 505.14 (vid. § **134**): ἠχι AV: ἦχι Dindorf **3** ἐχρῆν V: ἐχρὴν A **4** χῶρι διατμήγουσι Dindorf praeeuntibus Bentley et F. J. Bast ad Greg. Cor. p. 332: χωρὶ διατμηγοῦσι A: χωρὶ διὰ τμηγοῦσι V

176. Τὰ ὑπὲρ δύο συλλαβὰς εἰς -⟨σ⟩τι ὀξύνεται· *Ἰαστί, Δωριστί, Συριστί, Ἀττικιστί, Μεγαριστί*. εἰ δὲ μὴ ἔχοι τὸ -σ- πρὸ τοῦ -τ-, βαρύνεσθαι θέλει· *ἕκητι*. τὸ δὲ *ἀπαρτί* παρ' Ἀθηναίοις ὀξύνεται. ⟨καὶ τὸ *ἐγκυτί*·⟩ «σὺ δ' ἐγκυτὶ τέκνον ἐκέρσω» (Call. fr. 281 Pf.). 5

177. Καὶ τὰ ἀπὸ τῶν εἰς -ις κατ' ἀποβολὴν τοῦ -ς βαρύνεται· *πολλάκι, τουτάκι, θαμάκι*.

1–4 Τὰ…ἐκέρσω] Theogn. 159.30 (can. 965) Τὰ εἰς -⟨σ⟩τι (σ- addidi) ἐθνικὰ ὀξύνεται καὶ διὰ τοῦ -ι γράφει (γρ^{α} cod.) τὴν λήγουσαν καὶ τὴν παραλήγουσαν· οἷον Δωριστί, Ἰωνιστί, Βουλγαριστί, Σαρακηνιστί (extrema duo exempla ipse Theogn. adiecit); adverbia in -στι oxytona esse docet Trypho fr. 48; haec cur oxytona sint explicat Ap. Dysc. adv. 135.5; de ἕκητι disputat id. adv. 133.13; de ἀπαρτί adverbio oxytono, cf. Σ^{b} α 1637, vid. et locos a Cunningham indicatos; sch. Ar. Pl. 388a cum nota **6–7** Καὶ…θαμάκι] cf. § **191**; Hrd. Cath. Pros. ap. Theogn. 160.4 (can. 967) Τὰ διὰ τοῦ -ακις ἢ -ακι βαρύτονα ἐπιρρήματα διὰ τοῦ -ι- γράφονται, οἷον δυάκις καὶ δυάκι, τριάκις καὶ τριάκι, ἑξάκις καὶ ἑξάκι; Ap. Dysc. adv. 138.11 οἷον τὸ πολλάκις ἢ δεκάκις ἢ τὰ τοιαῦτα ἐν ἀποβολῇ τοῦ -ς οὐ κωλύεται μένειν κατὰ τὸν αὐτὸν τόνον; ibid. 200.19; id. synt. 496.8; Choer. II 329.16 τὰ γὰρ ἀποβάλλοντα τὸ -ς, ἐὰν φυλάξωσι τὸ αὐτὸ σημαινόμενον, ⟨καὶ⟩ τὸν αὐτὸν τόνον φυλάττουσιν, οἷον πολλάκις πολλάκι, μέχρις μέχρι; Eust. I 188.22

1 -στι scripsi: τι AV **4** καὶ…ἐγκυτί add. Lentz 506.14 | ἐκέρσω A: ἀκέρσω V
6 κατ' A: κατὰ V

178. Τὰ εἰς -*υ* λήγοντα δισύλλαβα μὴ καθαρεύοντα μηδὲ μελετήσαντα τὸ -*ς* ἔχειν βαρύνεται· *κόκκυ*. τὸ *ἰύ* ὀξυνόμενον καθαρεύει ἐπὶ θαύματος κείμενον. εἶπον δὲ «μὴ μελετήσαντα τὸ -ς ἔχειν» διὰ τὸ *ἰθύς ἰθύ*, *εὐθύς εὐθύ* ὀξυνόμενα· «δισύλλαβα» διὰ τὸ *μεταξύ*,
5 *μεσσηγύ* καὶ τὸ *ἀντικρύ*, ὅτε χωρὶς τοῦ -*ς*· ὅτε γάρ ἐστι μετὰ τοῦ -*ς*, προπαροξύνεται, ὡς καὶ τὸ *ἔμβραχυ* σημαῖνον τὸ ἁπαξαπλῶς ἢ καθάπαξ.

1–7 Τὰ…καθάπαξ] exempla e Catholica hausta servat Theogn. 161.6 (can. 974) Τὰ εἰς -υ λήγοντα ἐπιρρήματα μὴ τοπικῶς λαμβανόμενα διὰ τοῦ υ ψιλοῦ γράφονται, οἷον πάγχυ, πρόχνυ, δεῦρυ, πήλυ (hoc est in cod.; coniecit iam Lentz 506.20 πῆλυ; πλήν dedit Cramer perperam) ἀρρῦ (scripsi coll. Eust. Il. III 230.12 qui ἀρῦ praebet: αρρυ cod.) ἐπίφθεγμα τῶν ἐρετῶν, ὡς ἐπὶ κυνηγετῶν τὸ σίζε, κόκκυ (τὸ ἐλάχιστον), ἔμβραχυ, ἰύ τὸ θαυμαστικόν, ὃ λέγεται καὶ ἰήϋ (hoc est in cod., non ἰηΰ, teste Schneider[2] 19), ἀπὸ τοῦ ἠύς· ἐΰ ἀπὸ τοῦ εὖ κατὰ διάλυσιν τῆς ευ διφθόγγου εἰς ε καὶ υ, εὐθύ, μεσσηγύ, μεταξύ, ἀντικρύ· τοῦτο ἀπὸ τοῦ ἄντικρυς προπαροξυτόνου (-οξυτόνου scripsi: -οξύτονον cod.) γεγενημένον, ἅμα τῇ ἀποβολῇ τοῦ -ς ἐξέτεινεν τὸ υ καὶ τὴν ὀξεῖαν τάσιν ἐφύλαξεν; Choer. II 329.16 τὰ γὰρ ἀποβάλλοντα τὸ -ς, ἐὰν φυλάξωσι τὸ αὐτὸ σημαινόμενον, ⟨καὶ⟩ τὸν αὐτὸν τόνον φυλάττουσιν … πρόσκειται «ἐὰν φυλάξωσι τὸ αὐτὸ σημαινόμενον, φυλάττουσι καὶ τὸν αὐτὸν τόνον», διὰ τὸ ἄντικρυς ἀντικρύ· ἐνταῦθα ⟨γὰρ⟩ ἐπειδὴ οὐκ ἐφυλάχθη τὸ αὐτὸ σημαινόμενον—τὸ μὲν γὰρ ἄντικρυς τὸ φανερῶς σημαίνει, τὸ δὲ ἀντικρύ τὸ ἐξ ἐναντίας—τούτου χάριν οὔτε ὁ αὐτὸς τόνος ἐφυλάχθη; de κόκκυ, cf. sch. Ar. Av. 506a … ἔστι δὲ ὄνομα παροξύτονον; de ἄντικρυς/ἀντικρύ cf. etiam Ap. Dysc. adv. 200.17; Amm. 48 ἄντικρυς καὶ ἀντικρὺ διαφέρει. ἀντικρὺ μὲν γὰρ τὸ ἐπ' εὐθείας καὶ ἐξ ἐναντίας, χωρὶς τοῦ σ ὡς τὸ καταντικρύ· ἄντικρυς δὲ τὸ διαρρήδην καὶ φανερῶς, καὶ τὸ ἐπ' εὐθείας τοπικόν; Ioh. Philop. de voc. α 17 (rec. A) ἀντικρύς· τὸ ἐξεναντίας ὀξύνεται, ἄντικρυς δὲ τὸ φανερῶς προπαροξύνεται; ibid. α 18 (rec. B); ibid. α 26 (rec. C) ἄντικρυς· φανερῶς προπαροξύνεται. ἀντικρύ· τὸ ἐξεναντίας ὀξύνεται καὶ δίχα του -ς; ibid. α 25 (rec. D), α 33 (rec. E); Ep. Hom. α 205 cum testim.; de significatione adverbii ἔμβραχυ cf. sch. Ar. V. 1120a ἔμβραχυ: καθάπαξ· ἢ παντάπασι τὸ «ἔμβραχυ» ἀττικῇ συνηθείᾳ; sch. Plat. Theag. 127c (vid. et locos a Greene allatos)

2 βαρύνεται Dindorf: βαρ^{ύ} A: βαρύνονται V **4** δισύλλαβα] scil. εἶπον δὲ «δισύλλαβα» **6** ἔμβραχυ scripsi (hoc est, ὡς καὶ τὸ *ἔμβραχυ* προπαροξύνεται): ἐνβραχὺ AV: ἐμβραχύ Dindorf verbis ὡς καὶ — fin. a praecedentibus maiore interpunctione, i.q. (·), discretis (pariter Lentz 507.4), ut sensus sit *δισύλλαβα* ὡς καὶ διὰ τὸ *ἐμβραχύ* | ἁπαξαπλῶς coniunctim V et A in marg.: in duo vocabula ἅπαξ ἁπλῶς distinxit A in linea

179. Πᾶν ἐπίρρημα εἰς -ω λῆγον παράγωγον μὴ Δώριον πρὸ μιᾶς ἔχει τὸν τόνον· *ἄνω*, *κάτω*, *ἔξω*, *πρόσω*, *ἑκα⟨σ⟩τέρω*, *πορρωτέρω*. τὸ δὲ *ἄνεω* προπαροξύνεται. τὸ *ἰώ* ὀξύνεται ἀνακλητικὸν ὑπάρχον καὶ οὐκ ὂν παράγωγον. καὶ τὸ *ἐπισχερώ* ὀξύτονον.

1–4 Πᾶν…ὀξύτονον] cf. Hrd. Cath. Pros. ap. Ep. Hom. ε 174, l. 81 τὰ δὲ εἰς -ω ἐπιρρήματα φιλεῖ βαρύνεσθαι· σεσημείωται δύο, τὸ ἐπισχερώ καὶ ἰώ κλητικὸν ὀξύτονα ποιητικά. εἰ δέ που περισπασθήσεται τὰ εἰς ω, Δώριά ἐστι· μόνον οὖν προφυλακτέον τὸ ἁρμῶ, ὅπερ ἐστὶ καὶ ἁρμοῖ, οὐ Δώριον… (de ἁρμοῖ vid. § **168**) vid. et testim. ibi congesta; exempla Herodianea e Catholica petita ap. Theogn. 161.15 (can. 975) Τὰ εἰς -ω λήγοντα ἐπιρρήματα καὶ βαρύνεται, καὶ διὰ τοῦ ω μεγάλου γράφεται, οἷον ἄνω, κάτω, ἔξω, εἴσω, πόρσω καὶ τροπῇ Ἀττικῇ τοῦ -σ- εἰς -ρ- (ὡς ἄρσην ἄρρην) πόρρω, ἐγγυτέρω, ἀνωτάτω, ἐγγυτάτω, ἀπωτέρω, περαιτέρω; Ap. Dysc. adv. 165.20; sch. (Vat.) D. Thr. 277.2; de ἄνεω, cf. Ap. Dysc. adv. 166.12; de ἐπισχερώ et ἰώ vid. etiam Hrd. ap. sch. Σ 68b ἐπισχερώ: ὀξύνεται καὶ σεσημείωται ὥσπερ καὶ τὸ ἰώ· οὐδὲν γὰρ εἰς -ω λῆγον ἐπίρρημα θέλει ὀξύνεσθαι εἰ μὴ τὰ δύο ταῦτα, vid. et quos locos cum hoc componit Erbse

1 Πᾶν A: *ᾶν V, lit. π a rubr. omissa | λῆγον V: λή A **2** ἑκαστέρω Lentz 507.21 **3** ἄνεω] ἄνεῳ Lentz 507.24 coll. Ap. Dysc. adv. 144.11 | ἰώ Dindorf coll. Apoll. Dysc. de adv. 165.22: ἰσώ AV **3–4** ἀνακλητικὸν V (iam Lentz 507.24): ἀνάκλητον A

180. Τὰ εἰς -*αν* λήγοντα καὶ μακρὸν ἔχει τὸ -*α*- καὶ βαρύνεται· *λίαν*, *ἄγαν*, *εὔαν*, *πέραν*, ὅπερ Ἰωνικῶς *πέρην* λέγεται· «πέρην κλυτοῦ Ὠκεανοῖο» (Hes. Th. 215), †Διονύσιος. τὸ *πάμπαν* καὶ *τάλαν* συστέλλει τὸ -*α*-. τὸ δὲ *ὅτ' ἄν* δύο μέρη λόγου, *ὅτε* καὶ
5 *ἄν*. τὸ *δοάν* (Alcm. fr. 132 Davies) ὀξυνόμενον ⟨κατὰ⟩ πλεονασμὸν ἔχει τὸ -*ο*-· *δήν*, *δάν*, *δοάν*. τὸ *ὦ τᾶν* δύο περισπωμένας ἔχει.

1 Τὰ…βαρύνεται] Ap. Dysc. adv. 158,21 Τὰ εἰς αν λήγοντα ἐπιρρήματα ἐν μακρῷ ἐστὶ τῷ α, τάσει δὲ βαρείᾳ, ὡς ἔχει τὸ λίαν, ἄγαν, πέραν; sch. Vat. D. Thr. 281.18 Τὰ δὲ εἰς -αν βαρύνεται, λίαν ἄγαν πέραν ⟨πάμπαν, τάλαν⟩ ὀνοματικόν, εὐάν βακχικόν· τὸ ὅτ' ἄν δύο μέρη λόγου· τὸ δοάν παρ' Ἀλκμᾶνι (fr. 132 Davies) Δωρικῶς ὀξύνεται γεγονὸς οὕτως, δήν δάν ⟨καὶ κατὰ πλεονασμὸν⟩ δοάν· τὸ ὦτᾶν δύο μέρη λόγου ἐστὶ καὶ [κατὰ πλεονασμὸν] ἀντὶ τῆς ἐπὶ τέλους ὀξείας περισπωμένην ἔσχε· γέγονε δὲ οὕτως, ἔτης ὁ φίλος, ἐτάν, ὦ ἐτάν, καὶ κατὰ κρᾶσιν ὦτᾶν; Hrd. π. διχρ. 12.29 Τὰ εἰς -αν λήγοντα ἐπιρρήματα ἐκτείνουσι τὰ α, ἄγαν, λίαν, πέραν, εὐάν, ὑπεσταλμένου τοῦ πάμπαν. τὸ γὰρ ὅταν δύο μέρη λόγου ἐστί, ὅτε καὶ ἄν. τὸ δὲ τάλαν ὀνοματικόν ἐστι; Et. Gud. 7.1 Stef., unde EM α 52[a] **1–6** Τὰ…ἔχει[2]] de πέραν et πέρην, vid. § **136**; de πάμπαν, vid. § **137**; cf. Hrd. Cath. Pros. (usque ad ὅτε ἄν) ap. Ep. Hom. π 134 πάμπαν: … l. 20 τὰ δὲ εἰς -αν ἐπιρρήματα ἐκτείνει τὸ α καὶ βαρύνεται· ἄγαν, λίαν, πέραν· τὸ τάλαν ὀνοματικόν ἐστι καὶ τὸ πάμπαν δεδιπλασιασμένον· τὸ δὲ «ὅτ' ἄν» οὐκ ἔστιν ἐπίρρημα ἀλλὰ δύο ⟨μέρη λόγου⟩· ὅτε ἄν. τὸ δὲ πᾶν συστέλλει τὸ α ὁπότε ὑπὲρ μίαν συλλαβήν· σύμπαν, πρόπαν· οὕτως καὶ πάμπαν…vid. et locos a Dyck allatos; Hrd. ap. sch. A 519c ὅταν {μ' ἐρέθησιν}: τὸ τέλειον ὅτε ἄν ἐστι, καὶ κατὰ συναλιφὴν ὅτ' ἄν … πρόδηλον δὲ ἐκ τοῦ χαρακτῆρος ὅτι οὐ δύναται ἓν εἶναι, εἴ γε τὰ εἰς -αν ἐπιρρήματα οὐδέποτε συστέλλει τὸ α· τὸ γὰρ «πάμπαν» (A 422 al.) οὐ φύσει ἐπίρρημα. ἀλλὰ μὴν οὐδὲ σύνθετον δύναται εἶναι· οὐδέποτε γὰρ τὰ ἀναφορικὰ τῶν ἐπιρρημάτων κατ' ἀρχὰς συντίθεται, vid. et testim. ab Erbse allata; adverbia in -αν, ὅτ' ἄν, πάμπαν, δοάν, ὦ τᾶν tractat et strictim attigit τάλαν Ap. Dysc. adv. 158.21; sch. Vat. D. Thr. 281.18; de τάλαν adverbio etiam Amm. 460

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa **3** Διονύσιος] fortasse scribendum Ἡσίοδος **4** τάλαν Lentz: 508.5: τάναν AV | ὅτ' ἄν] ὅτὰν AV **5** κατὰ addidi: om. AV ut per compend. scriptum **6** τὸ[1]] sic AV; cave Dindorfio credas τοῦ in A exstare

181. Τὰ εἰς -δην πάντα βαρύνεται· *κλέ⟨β⟩δην*, *μίγδην*, *ἐμπλήγδην*, *κλήδην*, *ἄδην*, *ἐπαΐγδην*, *βάδην* καὶ ἄλλα μυρία.

182. Καὶ τὸ *βύζην* καὶ *ἔμπλην* ⟨καὶ⟩ *ἄντην* βαρύνεται. τὸ γὰρ *ἀκμήν*, *ἐθελοντήν* ὀνοματικά, διὸ καὶ συνοξύνεται τοῖς 5 ὀνόμασιν.

1–3 Τὰ…μυρία] exempla e Catholica sumpta ap. Theogn. 161.19 (can. 976) Τὰ εἰς -δην ἐπιρρήματα διὰ τοῦ -η- γράφονται, οἷον χύδην, φύρδην, ἀλλάγδην, παμπήδην, σποράδην, κρύβδην, μίγδην, διαρρήδην; Hrd. Cath. Pros. ap. Ep. ad A 187B, l. 49 τὰ δὲ εἰς -ην ἐπιρρήματα βαρύνονται· χύδην, μίγδην; Ap. Dysc. adv. 198.3 Τὰ εἰς -δην ἐν βαρείᾳ τάσει ἐστί; sch. (Lond.) D. Thr. 563.24 **4–6** Καὶ…ὀνόμασιν] exempla e Catholica petita invenias ap. Theogn. 161.22 (can. 977) Τὰ εἰς -ην ἐπιρρήματα μὴ προηγουμένου τοῦ -δ- διὰ τοῦ -η- γράφεται (γρ$^{\alpha}$ cod.)· πρῴην, μάτην, βύζην, ἄντην, ἔμπλην, ἀκμήν, ἀκήν (scripsi: ἀκμην, ἀκην cod.), ἐθελοντήν, ἑκοντήν ('adverbia ἐθελοντήν ἑκοντήν iure acuuntur in cod.' Schneider[2] 19), ἠμήν (Lentz l.c.: ἡμῖν cod.) τὸ ὅρκιον (cuius loco scribi ὁρκικόν vult Lentz praeter necessitatem)· τὸ ἐχρῆν περισπώμενον οὐκ ἐπίρρημα ἀλλὰ ῥῆμα, καθὰ φησὶν ὁ Τεχνικὸς ἐν τῇ *Καθόλου*; de βύζην cf. Ap. Dysc. adv. 198.13; de ἀκμήν dixit epitomator iam in § **136** (4)

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | πάντα A: πᾶντα V | κλέβδην ego coll. Ap. Dysc. adv. 198.6 **3** μυρία Dindorf: μύρια AV **4** καὶ[2] add. Dindorf **5** συνοξύνεται scripsi: συνοξύνονται A: σὺν ὀξύνονται seiunctim V

183. Τὰ εἰς -*δον* πάντα ὀξύνεται· *χανδόν*, *σχεδόν*, *βοτρυδόν*, *ἀγεληδόν*. μόνον τὸ *ἔνδον* βαρύνεται, διότι μόνον παρὰ πρόθεσιν καὶ ὅτι μόνον τοπικὸν τῶν εἰς -*δον*.

184. Τὰ εἰς -*ον* λήγοντα πρὸ τοῦ -*ο*- ⟨τὸ -δ- μὴ ἔχοντα ἀλλ'
5 ἕτερον σύμφωνον βαρύνεται· * * * *. ὁμοίως καὶ τὰ εἰς -ον λήγοντα πρὸ τοῦ -ο-⟩ τὸ -*ι*- ἔχοντα βαρύνεται· *ἔγγιον*, *πόρσιον*, *ὕψιον*.

1–3 Τὰ…-δον] exempla e Catholica hausta praebet Theogn. 162.3 (can. 980) Τὰ εἰς -δον ἐπιρρήματα διὰ τοῦ -ο- μικροῦ γράφονται (γρα) καὶ ὀξύνονται· παραλήγεται δὲ ἢ τῷ (scripsi: τὸ cod.) -η-, ὡς ἀγεληδόν, σωρηδόν, κιονηδόν, ταυρηδόν, κρουνηδόν, βομβηδόν, ἢ τῷ (scripsi: τὸ cod.) -ε-, ὡς τὸ σχεδόν, ἢ τῷ (scripsi: τὸ cod.) -υ-, ὡς τὸ βοτρυδόν, ἢ τῷ (scripsi: τὸ cod.) -α-, ὡς τὸ εἰλαδόν, ἐνωπαδόν, ὁμαδόν, ἢ τῷ (scripsi: τὸ cod.) -αν- ὡς τὸ χανδόν (χανδόν, non στοχανδόν, est in codice; vid. Schneider[2] 19), φανδόν, ἀναφανδόν. σεσημείωται τὸ ἔνδον συγκείμενον ἐκ προθέσεως καὶ βαρυνόμενον καὶ δηλοῦν τοπικὴν σχέσιν. λήγει δὲ καὶ εἰς -δος· ἔνδος γὰρ λέγεται πολλάκις καὶ ἔνδοι· τέσσαρσιν οὖν διαφοραῖς διαλλάξαν οὐδὲν θαυμαστὸν εἰ καὶ κατὰ τόνον διήλλαξεν; Hrd. Π. μον. λέξ. 931.27 Ἔνδον. οὐδὲν εἰς -δον λῆγον ἐπίρρημα βαρύνεσθαι θέλει, πάντα δὲ ὀξύνεται, ὡς ἔχει τὸ σχεδόν, ταυρηδόν, ἑλκηδόν, παρασταδόν, παρακλιδόν, «ῥυδὸν ἀφνειοῖο» (ο 426), ἀμφαδόν, ἄφθονος ἡ ἐν ἀκολουθίᾳ παράθεσίς ἐστι τῶν ὀξυνομένων. ἀλλὰ μόνον τὸ ἔνδον βαρύνεται. τῆς διαλλαγῆς ἐν ἑτέροις (hoc est, in Catholica cuius testes Theogn. l.c. et locus noster) δίδοται ἡ αἰτία; Ap. Dysc. adv. 196.12; e Theogn. fluxit Ep. Hom. β 5… τὰ δὲ εἰς -δον ἐπιρρήματα ὀξύνεται χωρὶς τοῦ ἔνδον; eadem EM β 222, (p. 465.30); de adverbiorum in -δον compositorum accentu vid. Hrd. ap. sch. Η 273b **4–6** Τὰ…ὕψιον] exempla Catholicae ap. Theogn. 162.14 (can. 981) Τὰ εἰς -ον ἐπιρρήματα μὴ ἔχοντα πρὸ τοῦ -ο- τὸ -δ-, ἀλλ' ἢ ἕτερον σύμφωνον ἢ τὸ -ι-, διὰ τοῦ -ο- μικροῦ γράφεται, οἷον σήμερον, αὐθημερόν, αὐθωρόν (scripsi pro codicis αὐθήμερον, αὔθωρον; de αὐθωρόν cf. Theogn. 155.9), μᾶλλον, ἧττον (ἧ- Lentz 509.19: ἦ- cod.), ἆσσον (scripsi: ἄσσον cod.), αὔριον, ἔγγιον· τὸ ἐξόν μετοχικὸν ἐκ τῆς ἐξ προθέσεως καὶ τοῦ ὄν οὐδετέρου; Choer. Ep. Ps. 89.26 Τὰ εἰς ΟΝ λήγοντα ἐπιρρήματα παραληγόμενα τῷ Ι ἢ τῷ Ε βαρύνονται, οἷον σήμερον, αὔριον, πλὴν τοῦ αὐθημερόν καὶ ἐξόν, [ὑπεσταλμένων] (delevi) τῶν ὀνοματικῶν. Τὸ αὐθημερόν παρώνυμον,τὸ ἐξόν μετοχή

1 Τὰ *ὰ V, lit. τ a rubr. omissa | ὀξύνεται A (sine compend.): ὀξύνονται V **2** ἀγεληδόν Egenolff[2] 246: ἀχεληδόν V: om. A **3** πρόθεσιν scripsi: προθέσεως AV **4** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa **4–6** τὸ…-ο- addidi coll. Theogn. 162.14 (can. 981); Iohannes exempla nescio quae post βαρύνεται addidisse putandus; fortasse etiam mentionem fecerat adverbiorum denominativorum oxytonorum αὐθημερόν et αὐθωρόν (cf. § **182**); vid. Xenis[3] **6** ἔγγιον Lentz 509.19: πόρριον AV | πόρσιον Egenolff[2] 246: ἔψιον AV

185. Τὰ εἰς -ξ λήγοντα ἐπιρρήματα ὀξύνεσθαι θέλει, πλὴν τῶν παρὰ πρόθεσιν – ταῦτα γὰρ βαρύνεται· *ἀπρίξ*, *κουρίξ*, *κοάξ*, *ὑποδράξ*, *βρεκεκέξ*, *ἰατταταιάξ*. τὸ δὲ *πέριξ* βαρύνεται παρὰ πρόθεσιν ὂν καὶ τὸ *πάρεξ*. σημειούμεθα δὲ τὸ *ἅπαξ* βαρυνόμενον.

186. Τὰ εἰς -ρ λήγοντα βαρύνεται· *ἄφαρ*, *νύκτωρ*, *ἄτερ*. 5

1–4 Τὰ…βαρυνόμενον] cf. Hrd. Π. μον. λέξ. 931.20 Ἅπαξ. τὰ εἰς -αξ λήγοντα ἐπιρρήματα ὀξύνεσθαι θέλει, ὀκλάξ, ὀδάξ, ἐναλλάξ, εὐράξ, αὐτοδάξ, ἐπιτάξ· ἀλλὰ μόνον τὸ ἅπαξ βαρύνεται. ὅπερ ἐν συντάξει τοῦ ἅπαντες ἢ τοῦ ἁπλῶς ἐκκλίνει τὸν τόνον ὡσεὶ ὀξύνοιτο τὸ ἅπαξ. ἁπαξάπαντας γὰρ λέγομεν καὶ ἁπαξαπλῶς ἐν τῇ ἀνὰ χεῖρα ὁμιλίᾳ; ibid. 951.14 Πέριξ. τὰ εἰς -ιξ λήγοντα ἐπιρρήματα φιλεῖ πως ὀξύνεσθαι, κουρίξ, ἀπρίξ, ἀναμίξ. ἀλλὰ τὸ πέριξ μόνον βαρύνεται.; id. ap. sch. Ξ 60a {ὡς} ἐπιμίξ: Ἀρίσταρχος ὡς «κουρίξ» (χ 188). καὶ εἴπομεν (sc. Π. μον. λέξ. 951.14) ὅτι τὰ εἰς -ιξ ἐπιρρήματα ὀξύνεται, σημειωσάμενοι τὸ πέριξ βαρυνόμενον, vid. et locos ab Erbse laudatos; Ep. Hom. υ 5 ὑπόδρα (B 245): … (l. 43) ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι ἐκ τοῦ ὑποδράξ γίνεται. Και διὰ τί ὀξύνεται; ἐπειδὴ τὰ εἰς -ξ, λήγοντα ἐπιρρήματα, χωρὶς εἰ μὴ παρὰ προθέσιν γίνονται, ἅπαντα ὀξύνονται, οἷον, εὐράξ … ἀπρίξ, ἐναλλάξ, κουρίξ. εἶπε δὲ «εἰ μὴ παρὰ πρόθεσιν γίνονται» διὰ τὸ πέριξ· τὸ γὰρ πάρεξ ἔχει μὲν πλέον τι σημαινόμενον· ὅτε γὰρ ὀξύνεται, οὔ φαμεν εἶναι ἐπίρρημα, ἀλλὰ δύο προθέσεις. σεσημείωται τὸ ἅπαξ· καὶ τοῦτο, ὅπερ ὤφειλε δέξασθαι ἐν τῇ ἁπλότητι, ἐδέξατο ἐν τῇ συνθέσει· ἁπαξαπλῶς. τὸ δὲ ὑποδράξ ἀποβαλὸν τὸ σύμφωνον ἀνεβίβασε τὸν τόνον, ὥσπερ ἀνυστής ἀνύτης, δεσποστής δεσπότης· οὕτως καὶ ὑποδράξ ἀποβαλὸν τὸ σύμφωνον ἀνεβίβασε τὸν τόνον, vid. et locos a Dyck allatos; regula iam Apollonio Dysc. nota, adv. 134.25 qui etiam ἅπαξ et πέριξ adverbia notabilia commemorat **5** Τὰ…ἄτερ] exempla Herodianea ap. Theogn. 162.23 (can. 984) Τὰ εἰς -ρ λήγοντα ἐπιρρήματα ἁπλᾶ ὀξύτονα οὐκ ἔστιν, τὰ γὰρ βαρύτονα σπάνια καὶ μονήρη, ὡς ἔχει τὸ νύκτωρ διὰ τοῦ -ω- μεγάλου καὶ τὸ ἄτερ διὰ τοῦ -ε-. περὶ γὰρ τοῦ αὐτῆμαρ, ποσσῆμαρ, ἐννῆμαρ, οὐδεὶς λόγος· σύνθετα γὰρ παρώνυμά εἰσιν

1 185 A: *ὰ V, lit. τ a rubr. omissa | πλὴν V (add. Bloch praef. xvii): om. A **2** πρόθεσιν scripsi: προ^{θ} A: προθέσεων V **3** ἰατταταιάξ Dindorf praef. xvii ex Ar. Eq. 1: ἰαττεάξ AV **4** πρόθεσιν scripsi: προ^{θ} A: προθέσεως V | πάρεξ Dindorf praef. xvii: πάραξ AV **5** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | βαρύνεται Dindorf: βαρ^{υ} A: βαρύνονται V | νύκτωρ Dindorf: τύκτωρ AV

187. Τὰ εἰς -*ας* μὴ παραληγόμενα τῷ -ε- σὺν ἀμεταβόλῳ ὀξύνεται· *ἀνεκάς*, *ἐντυπάς*, *ἀνδρακάς*. τὸ μέντοι *πέλας* βαρύνεται καὶ τὸ *ἀτρέμας*, ὅπερ καὶ χωρὶς τοῦ -*ς* λέγεται *ἀτρέμα*. τὸ δὲ *ἄλιας* παρ' Ἱππώνακτι (fr. 133 West) ⟨προ⟩παροξύνεται ἀπὸ τοῦ
5 *ἄλις* πλεονάσαν τῷ -*α*-.

188. Τὰ εἰς -*ης* βαρύνεται· *ἔμπης*, *ἐξαίφνης*, *ἐξαπίνης*, *ἐξείης*. τὸ δὲ *ἑξῆς* περισπᾶται. καὶ τὸ *ἀκαρής* ὀξυνόμενον ὀνοματικόν ἐστι.

1–5 Τὰ…-α-] Hrd. ap. sch. ν 14 ἀνδρακάς] … ἔστι δὲ ἐπίρρημα ὡς ἑκάς καὶ ἐντυπάς; (similia Eust. Od. II 36.33; id. Il. IV 883.13); Ap. Dysc. adv. 160.19 Τὰ εἰς -ας λήγοντα ὀξύνονται (ἰδιαίτερον μὲν παρὰ τὸν ἄνδρα παραχθὲν τὸ ἀνδρακάς). οὕτως ἔχει καὶ τὸ ἐντυπάς, ἑκάς, ἀνεκάς; de πέλας et ἀτρέμας adverbiis notabilibus alia ratione disputat ibid. 160.22; de ἄλιας Et. Gen. α 486 Ἄλιας (Hippon. fr. 133 West)· ἔστιν ἅλις, καὶ πλεονασμῷ τοῦ α ἄλιας. ἔστι δὲ μονῆρες τὸ ἐπίρρημα· οὐδὲν γάρ ἐστιν εἰς -ας ἐπίρρημα προπαροξυνόμενον, τοῦτο δὲ μόνον, τὸ δὲ αἴτιον τοῦ τόνου ὁ πλεονασμός· ἀλλ' ἢ ὀξύνονται, ὡς ἐπὶ τοῦ ἑκάς ἐντυπάς, ἢ παροξύνονται, ὡς ἀτρέμας, οἷον (B 200)· ἀτρέμας ἧσο. οὕτως Ἡρωδιανὸς ἐν τῷ Περὶ παθῶν (Lentz II 226.1), vid. et locos a L.–L. allatos; ἠρέμας et ἀτρέμας exempla e Catholica attulit Theogn. 162.28 (can. 985) Τὰ εἰς -ας ἐπιρρήματα ἔχοντα πρὸ τοῦ -α- (scripsi: -η- cod.) ἀμετάβολον, εἰ καὶ σπάνια, διὰ τοῦ -ε- ψιλοῦ γράφει τὴν παραλήγουσαν, οἷον πέλας, ἠρέμας (ἠ- scripsi: ἡ- cod.) (λέγεται δὲ καὶ ἄνευ τοῦ -ς ἠρέμα (ἠ- scripsi: ἡ- cod.)), ἀτρέμας, ἀτρέμα **6–8** Τὰ…ἐστι] exempla e Catholica affert haec Theogn. 163.3 (can. 987) Τὰ εἰς -ης ἐπιρρήματα διὰ τοῦ -η- γραφόμενα σπάνια καὶ ἱστορούμενα· ἔστιν γὰρ τὸ ἔμπης καὶ αἴφνης καὶ ἐξαπίνης καὶ ἑξείης, ἀφ' οὗ τὸ ἑξῆς περισπώμενον· τὸ ἀκαρής γὰρ (γὰρ quod est in cod. neglexit Cramer; vid. Schneider[2] 19) ὄνομα ὅμοιον τὸ εὐρυπυλής (Lentz 511.17: εὐρυπύλης cod.); de regula accentus ὀνοματικῶν ἐπιρρημάτων cf. § **182** τὸ γὰρ *ἀκμήν*, *ἐθελοντήν* ὀνοματικά, διὸ καὶ συνοξύνονται τοῖς ὀνόμασιν

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa **2** πέλας Dindorf praef. xvii: πέλλας AV **4** ἄλιας Dindorf praef. xvii (cf. Et. Gen. α 486): ἀλίας AV | Ἱππώνακτι Dindorf: ἱππόνακτι AV | προπαροξύνεται Lentz 511.9 **5** ἄλις V (iam Dindorf praef. xvii): ἅλις A | τῷ scripsi: τὸ AV **6** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | βαρύνεται V p.c.: βαρ^ύ A: βαρύτονα V a.c. **7** ἐξείης V (coni. Dindorf): ἑξείης A | καὶ A: om. V

189. Τὰ εἰς -ις λήγοντα δισύλλαβα βαρύνεται· *ἄλις*, *ἄνις*, *ἄχρις*, *αὖθις*· μόνα τὸ *χωρίς* καὶ *ἀμφίς* ὀξύνεται.

190. Τὰ δὲ ὑπὲρ δύο συλλαβὰς εἰς -ις λήγο⟨ντα ὑπεσταλ⟩μένων τῶν διὰ τοῦ -*δις* καὶ -⟨*α*⟩*κις* ὀξύνεται· *ἐγκυτίς*, ὃ χωρὶς τοῦ -ς

1–2 Τὰ…ὀξύνεται] cf. Hrd. ap. sch. Π 324d ἄχρις {ἄραξε}: Ἀρίσταρχος ὡς «μέχρις» (Ω 128) ἀνεγίνωσκε, παρὸ καὶ ἐγένετο. ἐκεῖνο δὲ ἔχομεν λέγειν ὡς τὰ εἰς -ις ἐπιρρήματα δισύλλαβα βαρύνεται, ὡς ἔχει τὸ ἄνις, «ἄλις» (Β 90 al.), «μόγις» (Ι 355 al.), ἄχρις, αὖθις. ὀξύνεται δὲ τὸ «χωρίς» (Η 470 al.) καὶ «ἀμφίς» (Β 13 al.), διότι μακρὰν ἔσχεν ἤτοι φύσει ἢ θέσει. τὰ μέντοι βαρυνόμενα ἤτοι βραχεῖαν εἶχεν ἢ τὴν κοινὴν καλουμένην, ἥτις ἐδύνατο σχεδὸν βραχεῖα εἶναι· διὸ ἐμάχετο τὸ αὖθις βαρυνόμενον. δοκεῖ δέ μοι ἀποφυγεῖν τὴν ὀξεῖαν, ἐπεὶ καὶ τριχῶς ἐλέγετο κατὰ τὸ τέλος, αὖθις, «αὖθι» (Α 492. γ 156), αὖθιν. τὸ δὲ τοιοῦτον ἑωρᾶτο (sc. καθ. 1,508,21) καὶ ἐπὶ τοῦ πέρυσι βαρυνομένου (unde Eust. Il. III 857.23); exempla Herodianea ap. Theogn. 163.7 (can. 988) Τὰ εἰς -ις ἐπιρρήματα δισύλλαβα βαρύτονα διὰ τοῦ -ι- γράφεται, οἷον μόλις, μόγις, ἄλις, ἄνις (ἀντὶ τοῦ χωρίς), μέχρις, ἄχρις (λέγεται δὲ καὶ μέχρι καὶ ἄχρι ἄνευ τοῦ -ς), αὖθις καὶ αὖθι καὶ αὖθιν (ὅτε φωνῆεν ἐπιφέρηται διὰ τοῦ -ν, ὅτε δὲ σύμφωνον ἄνευ τοῦ -ν)· οἷς ὅμοιον κατὰ γραφήν, εἰ καὶ μὴ κατὰ τόνον, τὸ χωρίς καὶ ἀμφίς **3–161,2** Τὰ… κραταιίς] exempla Herodianea ap. Theogn. 163.13 (can. 989) Τὰ εἰς -ις ὑπὲρ δύο συλλαβὰς ὑπεσταλμένων τῶν διὰ τοῦ -δις ἢ -ακις, εἴτε ὀξύτονα, εἴτε βαρύτονα, διὰ τοῦ -ι- γράφεται· ἐγκυτίς (Lobeck I 197: ἐγκοιτίς cod.) ὀξύτονον (scripsi: ὀξύτονος cod.), σολικρίς, λικριφίς, ἀμφικελεμνίς, παμπηδονίς (λέγεται δὲ καὶ πάμπαν καὶ παμπήδην καὶ παμπηδόν), αὐτονυχίς (λέγεται δὲ καὶ αὐτονυχηδίς (scripsi, vid. LSJ s.v. αὐτονυχίς: αὐτονυχίδης cod.) καὶ αὐτονυχί), κραταιΐς. τὸ μέντοι πέρυτις προπαροξυνόμενον Δώριόν ἐστιν, ἐκ τοῦ πέρυσι μεταποιηθέν, καὶ οὐ μάχεται; alia ratione de accentu adverbii **λικριφίς** disserit Aristarchus: Hrd. ap. sch. Ξ 463b λικριφίς: Ἀρίσταρχος ὀξύνει ὁμοίως τῷ «ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς» (ε 481). καὶ οὕτως ἐπεκράτησεν ἡ ἀνάγνωσις (de ἐπαμοιβαδίς vid. § **193**); de **λικριφίς** oxytono vid. etiam sch. ρ 237, Eust. Il. I 188.26; de κραταιίς, cf. sch. λ 597 τότ' ἀποστρέψασκε κραταιίς] ὁ μὲν Ἀρίσταρχος καὶ Ἡρωδιανὸς ὀξυτόνως κατὰ συστολήν, ὡς λικριφίς, ἀμφουδίς, ἐπιρρηματικῶς, ὁ δὲ Ἀσκαλωνίτης τὸ πλῆρες κραταιὰ ἴς, οἷον ἰσχυρὰ δύναμις. ᾧ ἐπείσθη καὶ ἡ συνήθεια. ἡ κραταιὰ δύναμις τοῦ λίθου, ὅ ἐστι τὸ βάρος

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | βαρύνεται Dindorf: βαρ^{ύ} A: βαρύνονται V ἄλις Dindorf: ἅλις AV **2** ὀξύνεται scripsi: ὀξύνονται AV **3** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | λήγοντα ὑπεσταλμένων Bloch praef. xvii: ληγομένων AV **4** -δις] hoc est, quae adverbia in -δις terminantur regulis suis propriis reguntur; -⟨α⟩δις Lobeck I 198, sed cf. § **192** τὰ δὲ τῷ -*ν*- *παραληγόμενα προπαροξύνεται· ἄλλυδις, ἄμυδις* | -ακις Lobeck I 198, cf. Theogn. 163.14 (can. 989): -κις AV | ὀξύνεται Dindorf: ὀξ^{ύ} A: ὀξύνονται V | ἐγκυτίς Lobeck I 198 et Lobeck² II 213: ἐγκυστίς AV

Καλλίμαχος εἶπεν («σὺ δ᾽ ἐγκυτὶ τέκνον ἐκέρσω» = fr. 281 Pf.), *λικριφίς*, *κραταιίς*.

191. Τὰ διὰ τοῦ -*ακις* παροξύνεται· *πολλάκις*, *ὀλιγάκις*, *τοσαυτάκις*.

5 **192.** Καὶ τὰ εἰς -*δις* τρισύλλαβα τῷ -*α*- παραληγόμενα παροξύνεται· *χαμάδις*, *φυγάδις*, *ὀκλάδις*, *κρυφάδις*· τὸ *ὠμαδίς* ⟨ὀξύνεται⟩ καὶ ἴσως ἐκ τοῦ *κατωμαδίς* ἀφηρέθη.

193. Τὰ δὲ ὑπερτρισύλλαβα ἢ ὅσα μακρᾷ φύσει ἢ θέσει παραλήγεται πάντα ὀξύνεται· *λαθρηδίς*, *κ⟨λ⟩ωπηδίς*, *αἰφνηδίς*,
10 *στοιχηδίς*, *ἀμοιβηδίς*, *ἀμβολαδίς*, *κατωμαδίς*.

3–4 Τὰ…τοσαυτάκις] cf. § **177**; exempla Herodianea ap. Theogn. 160.4 (can. 967) Τὰ διὰ τοῦ -ακις ἢ -ακι βαρύτονα ἐπιρρήματα διὰ τοῦ -ι- γράφονται, οἷον δυάκις καὶ δυάκι, τριάκις καὶ τριάκι, ἑξάκις καὶ ἑξάκι **5–7** Καὶ…ἀφηρέθη] exempla Herodianea ap. Theogn. 163.20 (can. 990) Τὰ διὰ τοῦ -αδις ἐπιρρήματα τρισύλλαβα διὰ τοῦ -ι- γράφεται (γρ^{α} cod.) καὶ παροξύνεται, οἷον χαμάδις, ὀκλάδις, φυγάδις, ἐχάδις (hoc in codice legitur, non ἐσχάδις; vid. Schneider[2] 19), πτακάδις, μιγάδις, κρυφάδις, ἀμάδις· τὸ οἴκαδις (hoc est in cod., non vitiosum οἰκάδις quod dedit Cramer) σεσημείωται προπαροξυνόμενον, καὶ τὸ ὠμαδίς ὀξυνόμενον; unde Ep. Hom. χ 22 ubi pro ὁμαδίς scribe ὠμαδίς **8–10** Τὰ… κατωμαδίς] Hrd. ap. sch. Σ 506d …τὸ δὲ ἀμοιβηδίς κατ᾽ ὀξεῖαν τάσιν. εἴρηται δὲ (scil. in Catholica) περὶ τῶν εἰς -δις ληγόντων ⟨ἐπιρ⟩ρημάτων; exempla Herodianea ap. Theogn. 163.24 (can. 991) Τὰ εἰς -δις ὑπὲρ τρεῖς συλλαβὰς ⟨ἢ⟩ (addidi) φύσει μακρᾷ παραληγόμενα καὶ ὀξύνεται καὶ διὰ τοῦ -ι- γράφεται, οἷον λαθρηδίς, κλωπηδίς, αἰφνηδίς, ἀντηδίς, στοιχηδίς, ἀμοιβαδίς (λέγεται δὲ καὶ ἀμοιβηδόν), ἀμφουδίς (Lentz 512.13: ἀμφιουδίς cod.), ἐπιουδίς (sic cod., idque recepit LSJ: ἐπουδίς Lentz l.c.), ἀκροπουδίς; alia ratione (cf. § **190**) sch. ρ 237 … τὸ δὲ ἀμφουδίς ὀξύνεται ὡς λικριφίς

1 ἐγκυτὶ Dindorf: ἔγκυτι AV **2** κραταιίς Dindorf praef. xvii: κρατεῗς AV **3** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | παροξύνεται Dindorf: παροξ^{υ} A: παροξύνονται V **5** Καὶ A: *αὶ V, lit. κ a rubr. omissa | τρισύλλαβα Bloch: δισύλλαβα AV | τῷ V (iam Dindorf): τὸ A **5–6** παροξύνεται Bloch: ὀξύνεται A: ὀξύνονται V **6** ὠμαδίς Bloch praef. xviii: ὤμαδις AV **7** ὀξύνεται add. Bloch praef. xviii | ἴσως V: ἴσως A **8** Τὰ…ὑπερτρισύλλαβα] scil. hypertrisyllaba in -αδις desinentia (e.g. ἐπαμοιβαδίς) | ὑπερτρισύλλαβα Lentz 512.9: seiunctim ὑπὲρ τρισύλλαβα AV μακρᾷ Dindorf: μακρὰ AV **8–9** παραλήγεται Dindorf: παραλ^{ή} A: παραληγόμενα V **9** ὀξύνεται Dindorf: ξ^{υ} A: ὀξύνονται V | κλωπηδίς ego coll. Theogn. 163.26 (can. 991) **10** ἀμβολαδίς scripsi: ἐμβολαδίς AV

194. Τὰ δὲ τῷ -*υ*- παραληγόμενα προπαροξύνεται· *ἄλλυδις*, *ἄμυδις*.

195. Τὰ εἰς -*ος* ἀπὸ προθέσεως παραχθέντα, εἰ ἔχοι τὸ -*τ*-, ὀξύνεται· *ἐντός*, *ἐκτός*. τὰ δὲ ἄλλα βαρύνεται· *ἦμος*, *τῆμος*, *ὁπῆμος*, *τημοῦτος*, *κῆχος*· τὸ δὲ *ἔνα⟨γ⟩χος* προπαροξύνεται. 5

1–2 Τὰ…ἄμυδις] Hrd. ap. sch. Υ 114c[1] ἄμυδις: ... προπαροξύνεται δὲ ὁμοίως τῷ «ἄλλυδις» (Λ 486. 745 al.) καὶ ἔστι δύο ταῦτα προπαροξυνόμενα τῶν εἰς -δις ἐπιρρημάτων τῷ -υ- παραληγόμενα; Hrd. ap. sch. Ι 6b[1] ... ἐχρῆν δὲ αὐτοὺς προσθεῖναι ἐκεῖνο ὡς ὅτι τὸ «ἄλλυδις» (Λ 486 al.) καὶ ἄμυδις τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν καὶ τῇ παραληγούσῃ ἐξαιρέτῳ ἐχρήσαντο, ἢ διὰ τοῦ (scripsi: τὸ cod.) -υ- ἐξηνέχθησαν. ἐχρῆν οὖν ἀμάδις τι εἶναι ὡς «χαμάδις» (Γ 300 al.). τροπὴ δὲ τοῦ -α- ἐγένετο εἰς τὸ υ, ὡς τὸ σάρκες σύρκες. καὶ ἐπεὶ Αἰολικὴ ἡ τροπή, καὶ ὁ τόνος Αἰολικὸς καὶ τὸ πνεῦμα; exempla Herodianea ap. Theogn. 163.28 (can. 992) Τὰ εἰς -δις ἐπιρρήματα ὑπὲρ δύο συλλαβὰς προπαροξύτονα τῷ -υ- παραληγόμενα διὰ τοῦ -ι- γράφεται, οἷον ἄλλυδις, ἄμυδις Αἰολικὸν ἔχον τὸ πνεῦμα **3–5** Τὰ…προπαροξύνεται] exempla Herodianea ap. Theogn. 164.1 (can. 994) Τὰ εἰς -ος ἐπιρρήματα ἀπὸ προθέσεως παρηγμένα διὰ τοῦ ο μικροῦ γράφονται καὶ ὀξύνονται καὶ σχέσιν τοπικὴν δηλοῖ (post δηλοῖ in cod. leguntur verba μετὰ τῆς εἰς ος (non σο) καταλήξεως super quae 'puncta scripta sunt, quibus indicetur delenda illa esse, idque iure: nam ex l. 5, ubi suum locum occupant, huc translata sunt' Schneider[2] 19–20), οἷον ἐντός, ἐκτός. ὅσα δὲ τοπικῆς ἀπήλλακται σχέσεως καὶ χρόνον ἢ ἄλλο τι δηλοῖ μετὰ τῆς εἰς -ος καταλήξεως τὴν βαρύτονον τάσιν ἐπιζητεῖ, οἷον πάρος, ἐπὶ χρόνου, ἦμος ὁμοίως, τῆμος, ὁπῆμος (ὁ- Lentz 512.19: ὀ- cod.), κῆχος· τὸ ἔναγχος προπαροξύνεται. τὸ εἰκός ὀξυνόμενον οὐδέτερον ἦν, μετοχὴ οὐδετέρου γένους εἰς σύνταξιν ἐπιρρηματικὴν ἐλθοῦσα. τὸ γοῦν ἔνδος, ἔξος, βαρύτονα Δώρια; Ep. Hom. π 131; Ap. Dysc. adv. 183.5; κῆχος et ἔναγχος oxytonis adverbiis (κηγχός, ἐναγχός) adnumerat Ap. Dysc. adv. 183.16

1 προπαροξύνεται Dindorf: προπαροξ^{υ} A: προπαροξύνονται V **3** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | -ος Dindorf: εος AV | προθέσεως Dindorf: προ^{θ} A: προθέσεων V **4** βαρύνεται Dindorf: βαρ^{υ} A: βαρύνονται V **5** ὀπῆμος V: om. A | ἔναγχος Dindorf

196. Τὰ εἰς -υς συστελλόμενον ἔχοντα τὸ -υ- ὀξύνεσθαι θέλει, πλὴν εἰ μὴ τρισύλλαβα ὄντα ἀπὸ προθέσεως ἄρχοιτο· *ἐγγύς, εὐθύς, ἰθύς, μεσσηγύς*· τὸ δὲ *ἄντικρυς* καὶ *σύνεγγυς* πρόθεσιν ἔχει.

5 **197.** Τὰ εἰς -χως ἐπὶ ποσότητος περισπᾶσθαι θέλει· *διχῶς, τριχῶς, τετραχῶς*. τὸ δὲ *ἐξόχως, ἡσύχως* βαρύνεται· ἀπὸ ὀνομάτων γάρ.

198. Τὰ καλούμενα τῆς μεσότητος ἀπὸ γενικῶν πληθυντικῶν γενόμενα καὶ τὸν αὐτὸν τόνον αὐταῖς ἔχει εἴτε παρ' ὀνόματα [αὐταῖς]

1–4 Τὰ…ἔχει] exempla Herodianea ap. Theogn. 164.10 (can. 995) Τὰ εἰς -υς ἐπιρρήματα ὀξύτονα διὰ βραχέος (scripsi: βραχύ cod.) τοῦ υ γράφεται ἁπλᾶ ὄντα. τὰ γὰρ παρὰ πρόθεσιν συγκείμενα προπαροξύνονται, οἷον ἐγγύς, εὐθύς, ἰθύς, μεσσηγύς. τὸ ἄντικρυς, σύνεγγυς, παρὰ πρόθεσιν συγκείμενα προπαροξύνονται. (τὸ ἀντικρύ[ς] (del. Lentz 513.9) ὀξυνόμενον ἐκτείνει τὸ υ.) τὸ ἀλλῦς μακρὸν ἔχον τὸ υ περισπᾶται; similis canon subest in Ap. Dysc. adv. 200.23, sed nihil de adverbiis trisyllabis cum praepositionibus compositis traditur: τὸ δὲ ἄντικρυς ἠλόγηται βαρυνόμενον, εἴγε τὰ τοιαῦτα τῶν ἐπιρρημάτων ὀξύνεται, ἰθύς, ἐγγύς; Ep. Hom. ε 197 ἐγγύς ubi tamen diverse accentus adverbii ἄντικρυς excusatur **5–7** Τὰ…γάρ] exempla Herodianea ap. Theogn. 164.20 (can. 997) Τὰ εἰς -χως παράγωγα ἐπιρρήματα ἐπὶ ποσότητος ταττόμενα διὰ τοῦ ω μεγάλου γράφονται καὶ περισπῶνται, οἷον διχῶς, τριχῶς, ἑξαχῶς, ἑπταχῶς, ποσαχῶς. τὸ ἐξόχως, ἡσύχως, τὴν ὀνοματικὴν φυλάξαντα (ὀνοματικὴν φυλάξαντα scripsi: γραφὴν φυλάξαν τὴν cod.) σημασίαν [καὶ] (delevi) τὸν τόνον ἤμειψεν; de adverbiis in -χως perispomenis vid. et Ap. Dysc. adv. 174.12; de ἐξόχως, ἡσύχως vid. § **198** **8–9** Τὰ…ἔχει] exempla Herodianea ap. Theogn. 164.16 (can. 996) Καθόλου τὰ εἰς -ως ἐπιρρήματα τῶν γενικῶν πληθυντικῶν ἔχουσι τὴν γραφὴν καὶ τὸν τόνον, οἷον καλῶν καλῶς, σοφῶν σοφῶς; Ap. Dysc. adv. 169.20; sch. (Vat.) D. Thr. 275.14 Μεσότητος λέγονται οὐκ εἰκῇ, ἀλλὰ διά τινα αἰτίαν· ἀεὶ γὰρ τὰ τῆς μεσότητος ἀπὸ ὀνομάτων ἔχει τὴν γένεσιν, ὀνομάτων δὲ λέγω τριγενῶν, ἀπὸ γενικῆς ⟨πληθυντικῆς⟩, τοῦ ν εἰς ς μεταβαλλομένου. Ἐντεῦθεν καὶ τὰ τοιαῦτα κατὰ τόνον οὐδεμιᾶς ἔχεται ἀμφιβολίας, δεῖ δὲ πρότερον ἀποβλέπειν εἰς τὴν γενικὴν ⟨πληθυντικὴν⟩ τοῦ ὀνόματος καὶ ἰδεῖν, ὁποῖον ἔχει τόνον ἴδιον, καὶ εἶθ' οὕτως ἀποφαίνεσθαι κατὰ τοῦ ἐπιρρήματος· εἰ γὰρ βαρύνοιτο ἡ γενικὴ τοῦ ὀνόματος, συμβαρύνεται καὶ τὸ ἐπίρρημα, εἰ δὲ περισπῷτο, συνακολουθεῖ καὶ τὸ ἐπίρρημα; sch. (Mel./Diom.) D. Thr. 59.27; Eust. Il. II 779.21 cum testim. **9–164,1** εἴτε… ἀντωνυμίας] sch. (Vat.) D. Thr. 275.24 Οὐ μόνον δὲ ἀπὸ ὀνομάτων γίνεται, ἀλλὰ

1 Τὰ A: *ὰ V, lit. τ a rubr. omissa **2** προθέσεως Dindorf: προ^{θ} A: προθέσεων V **5** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | περισπᾶσθαι AV$^{p.c.}$: περισπᾶται V$^{a.c.}$ **6** δὲ V: om. A | ἡσύχως V: ἡσίχως A **8** Τὰ A: *ὰ V, lit. τ a rubr. omissa | καλούμενα V: καλλούμενα A **9** γενόμενα V: γινόμενα A | ὀνόματα Dindorf: ὀνόμα^{τ} A: ὀνόματος V | αὐταῖς^{2} del. Dindorf praef. xviii

γένοιντο εἴτε παρὰ μετοχὰς εἴτε παρ᾽ ἀντωνυμίας· *κούφων κούφως*, *βαρέων βαρέως*· *καλῶν* δὲ *καλῶς* περισπωμένως· καὶ *σεμνῶν σεμνῶς*, *ἀσέμνων* δὲ *ἀσέμνως*· καὶ †τὰ παρὰ τὸ *ἄναξ* δὲ *ἀνάκτων* ὁμοίως *ἀνάκτως*†, ὡς καὶ *ἐξόχων ἐξόχως* καὶ *ἡσύχων ἡσύχως*. τὸ δὲ *αὐταρκῶς*, *εὐωδῶς* περισπᾷ 5
Ἡρωδιανός, ἐπεὶ καὶ τὰς γενικὰς αὐτῶν. τὴν δὲ *κακοήθων* γενικὴν καὶ *αὐθάδων* βαρύνειν μεμελετήκασι παραλόγως, αἷς συμβαρύνουσι καὶ τὰ ἐπιρρήματα *κακοήθως*, *αὐθάδως*. ὁ δὲ Ἀρίσταρχος καὶ τὸ *νοσώδων* ⟨*νοσώδως*⟩ ἐβάρυνεν ἀλόγως. καὶ ἀπὸ μετοχῶν· *ἀγαπώντων ἀγαπώντως*, *ἐπαρκούντων* 10
ἐπαρκούντως, *προσηκόντων προσηκόντως*. παρὰ τὸ *ζάφελος* προπαροξυνόμενον ὀφείλει καὶ τὸ *ζαφελῶς* ἐπίρρημα βαρύνεσθαι, ὡς ἀπὸ τοῦ *ζάθεος ζαθέως*· οὐ γάρ ἐστι παρὰ τῷ ποιητῇ *ζαφελής*. δείκνυσι δὲ Ἡρωδιανὸς ὡς ὅτι κατὰ συνεκδρομὴν τοῦ *ἀμελῶς* καὶ *ἐντελῶς* περιεσπάσθη τὸ *ζαφελῶς*. τὸ *νουνεχόντως* ἀπὸ δύο κατὰ διάστασιν λέξεων παρήχθη, τῆς *νοῦν* καὶ τῆς 15
ἐχόντων. Τὸ *ἕως* καὶ ἀνταποδοτικὸν τὸ *τέως* πρωτότυπά ἐστι

καὶ ἀπὸ μετοχῶν, ὡς τὸ ἐχομένως ἐσπουδασμένως, καὶ ἀπὸ ἀντωνυμιῶν, ὡς τὸ οὕτως καὶ ἐκείνως

5 ἡσύχως] Ap. Dysc. adv. 175.1 **5–9** τὸ…ἀλόγως] § **81** **15** ζαφελῶς] Hrd. ap. sch. I 516a ἐπιζαφελῶς: ὡς «χαλεπῶς» (Η 424. Υ 186). παρέλκει δὲ πάλιν ἡ ἐπί. ἐχρῆν δέ, εἰ παρὰ τὸ ζάφελος γέγονε, καὶ ζαφέλως ἡμᾶς ἀνεγνωκέναι βαρυτόνως, ἢ καὶ ἐκεῖνο κατ᾽ ὀξὺν προφέρεσθαι τόνον. ἀλλὰ μήποτε τὸ μὲν ζάφελος προπαροξύνεται λόγῳ τοιούτῳ· τὰ εἰς -ος λήγοντα συγκείμενα παρὰ τὸ ζα- προπαροξύνεται, ζάθεος ζάκοτος· οὕτως οὖν καὶ ζάφελος. τὸ δὲ ζαφελῶς περισπᾶται, ἐπεὶ τὰ διὰ τοῦ -λως ἐπιρρήματα, παραληγόμενα τῷ ε, ὡς ἐπὶ τὸ πλεῖστον φιλεῖ περισπᾶσθαι, οἷον εὐτελῶς ἐπιμελῶς, οἷς καὶ τὸ ζαφελῶς συνεξέδραμε. πρόσκειται «ὡς ἐπὶ τὸ πλεῖστον» διὰ τὸ εὐτραπέλως ἰκέλως, vid. et locos ab Erbse ibi collectos **15–16** νουνεχόντως] Ap. Dysc. adv. 175.25, e quo pendet Et. Gud. 411.48 (unde EM 606.35) **17–165,1** Τὸ…παρῆκται] Ap. Dysc. adv. 173.30 Δοκεῖ δὲ πρωτότυπον εἶναι τὸ ἕως· οὐ γὰρ προϋφέστηκέ τι· τό τε ἀνταποδοτικὸν αὐτοῦ τέως; cf. sch. (Vat./Steph.) D. Thr. 274.31 πάντα δὲ παράγωγα τὰ εἰς -ως, πλὴν τοῦ ἕως, τέως

3 δὲ V: om. A **3–4** τὰ…ἀνάκτως] gravi mendo locus laborat; τὰ παρὰ τὸ πᾶς δὲ καὶ μέγας πάντων μεγάλων ὁμοίως πάντως μεγάλως Lentz 513.18 coll. Ap. Dysc. adv. 170.7; τὸ παρὰ τὸ ἄτακτος δὲ ἀτάκτων ὁμοίως ἀτάκτως temptavi **4** ὡς A: ὧς V **9** νοσώδως addidi **13** οὐ A: οὐδὲ V **17** Τὸ A: *ὸ V, lit. τ a rubr. omissa | πρωτότυπά A: πρωτότυπόν V

καὶ οὐχ ὡς τὰ λοιπὰ παρῆκται. καὶ τὸ *οὕτως* καὶ τὸ *αὕτως* βαρύνεται. τὸ *ὥς* παρ' εὐθεῖαν γέγονε τὴν *ὅς*, ὅθεν καὶ ὀξύνεται· καὶ συνετέθη *καθώς*.

Περὶ συνδέσμων (199–211)

199. Πᾶς σύνδεσμος μονοσύλλαβος μὴ ἔχων φύσει μακρὰν ὀξύνε-
5 ται· *μέν*, *δέ*, *τέ* καὶ οἱ λοιποὶ πάντες.

1–3 καὶ[2]…καθώς] de accentu adverbiorum οὕτως, ὥς, cf. Ap. Dysc. adv. 138.20; Ep. Hom. ο 5 οὕτω: ... (l.40) καὶ ἐκ τοῦ εἰπεῖν τὸν τεχνικόν· «τὸ δὲ ὥς ὀξύνεται, ἐπεὶ ἀπὸ τοῦ ὅς γέγονεν, ὡς τὸ οὕτως ἀπὸ τοῦ οὗτος, vid. et locos a Dyck allatos; sch. (Vat.) D. Thr. 275.26; de eorum originatione, cf. etiam sch. (Vat./Steph.) D. Thr. 274.31 ⟨καὶ⟩ πάντα (scil. adverbia in -ως desinentia) ἀπὸ γενικῶν, πλὴν τοῦ οὕτως, ὥς; de accentu spirituque adverbii αὕτως/αὔτως, cf. Ap. Dysc. adv. 174.3 cum nota Schneideri ad loc. in Gr.Gr. II.I.2 p. 188 **3** συνδέσμων] Herodianus de accentu coniunctionum in libro XIX Catholicae egerat, cf. Arc. 4.20 **4–5** Πᾶς… πάντες] cf. Arc. 209.19 Πᾶς σύνδεσμος μονοσύλλαβος βραχυκατάληκτος ὀξύνεται· γάρ, ἄρ, ῥά, δέ, τέ, μέν, κέν, ἄν, πέρ; sch. (Mel./Diom.) D. Thr. 61.30 Τόνον δὲ ἔχει (scil. μέν coniunctio) τὸν πρέποντα λέξει μονοσυλλάβῳ βραχυκαταλήκτῳ, τουτέστι τὸν ὀξὺν μὲν καθ' ἑαυτόν, ἐν δὲ τῇ συνεπείᾳ βαρύνεται.

2 ὥς Lentz 514.15: ως AV | εὐθεῖαν A: εὐθείαν V | ὅς Dindorf: ος AV
3 συνδέσμων Dindorf: συνδέσμου AV

200. Οἱ δὲ εἰς -*α* λήγοντες καὶ ὑπὲρ μίαν συλλαβὴν ὄντες πάντες βαρύνονται, ὡς ἔχει ὁ *ἆρα*, ὅτε διαπορητικός ἐστι ἐκτείνων τὸ πρῶτον -*α*-, καὶ ὁ συλλογιστικὸς ἢ παραπληρωματικὸς ἑκάτερον συστέλλων. τοιοῦτος καὶ ὁ *κᾶτα* μακρὸν ἔχων τὸ -*α*- τὸ πρῶτον· *ὄφρα*, *ἵνα*, *ἔμπα*, *ἕνεκα*, *οὕνεκα*, *δῆτα*. ὅθεν σημειούμεθα 5
τὸν *ἀλλά* ὀξυνόμενον· καθόλου γὰρ οἱ συμπλεκτικοὶ ὀξύνονται· *μέν*, *δέ*, *τέ*, *ἀτάρ*, *αὐτάρ*· οὕτως οὖν καὶ ὁ *ἀλλά*. σημειούμεθα ἐν τοῖς συμπλεκτικοῖς τὸν *ἤτοι* βαρυνόμενον, ὃς οὐ μόνον συμπλεκτικός ἐστιν, ἀλλὰ καὶ διαζευκτικός.

1–9 Οἱ…*διαζευκτικός*] Arc. 209.23 Οἱ εἰς -α σύνδεσμοι ὑπὲρ μίαν συλλαβὴν βαρύνονται· ἄρα, κᾶτα (scripsi coll. Ap. Dysc. coniun. 229.23 sqq.: κάτα codd.: κᾳ̃τα Schmidt), ὄφρα ἵνα ἕνεκα οὕνεκα δῆτα, πλὴν τοῦ ἀλλά. Οἱ συμπλεκτικοὶ σύνδεσμοι ὀξύνονται· μέν, δέ, τέ, καί, ἀλλά, ἠμέν, ἠδέ, ἀτάρ, αὐτάρ, ὑπεσταλμένου τοῦ ἤτοι βαρυτόνου. οὗτος γὰρ οὐ μόνον συμπλεκτικός, ἀλλὰ καὶ διαζευκτικός; Choer. Ep. Ps. 63.22 Ἵνα· διατί βαρύνεται; Πᾶς σύνδεσμος ὑπὲρ μίαν συλλαβὴν εἰς Α λήγων βαρύνεται, οἷον ἄρα, ὄφρα· οὕτως οὖν καὶ ἵνα. Σεσημείωται ὁ ἀλλά σύνδεσμος συμπλεκτικός; de ἆρα/ἄρα vid. etiam Ap. Dysc. coniun. 258.13 καὶ ἐπὶ τοῦ αρα συνδέσμου, ὁμοιογράφου καθεστῶτος, τὸ δισσὸν ⟨ἔστιν⟩ ἀναδέξασθαι τοῦ τόνου. ὅτε γάρ ἐστιν ἀπορηματικὸς ἢ κατ' ἐρώτησιν παραλαμβανόμενος, τότε καὶ ἐν ἐκτάσει ἐστὶ τὸ α· ὅτε μέντοι ἐπιφορικὸς (hanc coniecturam pro ἐπιφορητικός quae est in editione sua proposuit Schneider ad 258.16 = Gr.Gr. II.I.2 p. 259, eamque recepit Dalimier) ἢ παραπληρωματικός, βραχὺ ἔχει τὸ α; Ioh. Philop. de voc. α 6 (rec. B) ἆρα· ὁ σύνδεσμος διαπορητικὸς προπερισπᾶται. ἄρα· ὁ συλλογιστικὸς σύνδεσμος παροξύνεται…; ibid. α 11 (rec. A); Gal. 16.495 μιχθείσης δ' ἀγρυπνίας τῷ κώματι ἀμφιβολία γίνεται, καὶ διὰ τοῦτο τῷ λόγῳ τὸν ἆρα σύνδεσμον προσέθηκεν, ὃν περισπῶντες τῷ τόνῳ λέγομεν, ὅταν περί τινων πραγμάτων ἀποροῦντες τύχωμεν; de κᾶτα disputat Ap. Dysc. coniun. 229.23; sch. (Mel./Diom.) D. Thr. 65.21 Κᾶτα προπερισπᾶται; de copulativis coniunctionibus cf. etiam § **118**; Hrd. Cath. Pros. ap. Ep. Hom. κ 100, l.2 sqq., α 14, l.83 sqq.; Choer. Ep. Ps. 20.25; Eust. I 115.16; de ἤτοι cf. etiam sch. (Vat./Steph.) D. Thr. 286.2 ὁ ἤτοι παρ' Ὁμήρῳ μόνῳ συμπλεκτικός, παρὰ δὲ τοῖς πεζοῖς καὶ ⟨ἐν⟩ τῇ συνηθείᾳ διαζευκτικός· διὸ καὶ βαρύνεται, τῶν συμπλεκτικῶν πάντων ὀξυνομένων; sch. (Mel./Diom.) D. Thr. 62.24

1 Οἱ A: αἱ V **2** ἆρα Dindorf: ἄρα AV **4** κᾶτα Lentz 515.10 coll. Ap. Dysc. coni. 229.23: κάτα AV | ἔχων Dindorf: ἔχει AV **5** ὄφρα A: ὄφρα V | ἵνα V: ἵνα A ἔμπα A: ἔμπης V

201. Πᾶς σύνδεσμος εἰς -ς λήγων μακροκατάληκτος βαρύνεται, εἰσὶ δὲ σπάνιοι· *ὅπως*, [*ἕως*], *ἔμπης*, *ὅμως* (ὅτε σύνδεσμος, ὅτε δὲ ἐπίρρημα, περισπᾶται· *ὁμῶς*, ὡς *σαφῶς*).

202. Καὶ οἱ παραπληρωματικοὶ πάντες ὀξύνονται· *δή*, *ῥά*, 5 *θήν*, *πέρ*, *κέν*, καὶ οἱ λοιποί. Ὁ δὲ *αὖ* καὶ ὁ *οὖν* περιεσπάσθησαν διὰ τὸ τὴν εἰς -υ λήγουσαν δίφθογγον ἀποστρέφεσθαι τὴν ὀξεῖαν, ὡς πολλάκις εἴπομεν.

203. Πᾶς αἰτιολογικὸς σύνδεσμος ὑπὲρ μίαν συλλαβὴν βαρύνεται· *οὕνεκα*, *ἕνεκα*, *ὅτι*, *χάριν* (δηλοῖ γὰρ οὐκ ὄνομα μόνον, 10 ἀλλὰ καὶ σύνδεσμον αἰτιολογικόν· *χάριν Δίωνος* ἀντὶ τοῦ *ἕνεκα Δίωνος*).

1–3 Πᾶς…σαφῶς] Arc. 210.5 Αἱ εἰς -ς λήγοντες ὑπὲρ μίαν συλλαβὴν βαρύνονται· ὅπως, ἔμπης, ὅμως; de ὅμως/ὁμῶς cf. Hrd. ap. sch. Μ 393a … τοῦ δὲ ὅμως τὴν προτέραν ὀξυτονητέον· ἔστι γὰρ σύνδεσμος, vid. et locos ab Erbse allatos; Hrd. ap. sch. Ο 209c[1] **4–6** Καὶ…ὀξεῖαν] Arc. 210.7 Πᾶς σύνδεσμος παραπληρωματικὸς ὀξύνεται, χωρὶς εἰ μὴ δίφθογγον τὴν διὰ τοῦ -υ- ἔχοι· δή, θήν, νύ, ἄρ, ῥά, τοί, γέ, πέρ, μήν. αὖ περισπώμενος ἔχων τὸ Υ; ibid. 210.13 ὁ δὲ οὖν περισπᾶται, sed verba a sua sede, hoc est 210.9, aberraverunt; § **211**; de αὖ cf. etiam Hrd. Cath. Pros. ap. Ep. Hom. α 248, l. 7 **7** πολλάκις εἴπομεν] §§ **54**, **106**, **145** **8–11** Πᾶς…Δίωνος] Arc. 210.10 Οἱ αἰτιολογικοὶ ὑπὲρ μίαν συλλαβὴν ὄντες βαρύνονται· ἕνεκα, ὄφρα, ὅτι, χάριν; Ep. var. 367.27 εἵνεκα: βαρύνεται· πᾶς γὰρ αἰτιολογικὸς σύνδεσμος ὑπὲρ μίαν συλλαβὴν βαρύνεται, οἷον ἕνεκα, †χάριν Δίωνος ἦλθον, ὁ ἕνεκα†, ὄφρα, ὅτι, χάριν. δηλοῖ γὰρ οὐκ ὄνομα μόνον, ἀλλὰ καὶ σύνδεσμον; de χάριν cf. etiam sch. (Marc.) D. Thr. 440.11 καὶ τὸ χάριν δὲ αἰτιολογικός ἐστι σύνδεσμος, ἀλλ' ἐπειδὴ καὶ ὄνομά ἐστιν, οὐ τέθεικεν αὐτό, ὡς ἐκεῖ ⟨ε 307⟩ «χάριν Ἀτρείδῃσι φέροντες»· ἐνταῦθα γὰρ ὄνομά ἐστι· καὶ πολλαχοῦ δέ ἐστιν αἰτιολογικὸν τὸ χάριν; Eust. Il. III 186.40; ibid. III 793.6; Ap. Dysc. coniun. 247.15 eodem atque noster exemplo utitur χάριν Δίωνος, sed χάριν pro accusativo habet subtracta εἰς praepositione, ibid. 246.28

1 Πᾶς A: *ᾶς V, lit. π a rubr. omissa | λήγων Dindorf: λή A: λῆγον V **2** ἕως] del. Lentz 516.1, quia Ioh. Alex. vocem ἕως adverbiis adnumerat (vid. supra § **198**) **8** Πᾶς A: *ᾶς V, lit. π a rubr. omissa

204. Ὁ *εἴ* συναπτικὸς καὶ ὁ *ἐπεί* παρασυναπτικὸς συνεστηκὼς παρὰ τὴν *ἐπί* πρόθεσιν καὶ τὸν *εἴ* σύνδεσμον συναπτικὸν ὀξύνονται. ὁμοίως καὶ ὁ *ἤν* καὶ ὁ *ἐπήν* καὶ ὁ *ἐπεάν*. καὶ ὁ *μήν*, ἔτι δὲ καὶ ὁ *ἀλλαμήν* εἴτε δύο λέξεις εἶεν εἴτε μία ὀξύνεται. Ὁ *εἴ δή* καὶ *ἐπεὶ δή* δύο μέρη λόγου ἐστὶν ὀξυνόμενα. ὁμοίως καὶ ὁ *εἴ περ* καὶ ὁ 5
ἐπεί περ καὶ *ἐπειδή περ*, ἀλλ' ἐπειδὴ ἐγκλιτικός ἐστιν ὁ *πέρ*, ἐγείρει τὴν πρὸ αὐτοῦ βαρεῖαν εἰς ὀξεῖαν, ὡς ὁ *κέ* ἐν *εἴ κε*, *αἴ κε*.

1–7 Ὁ…κε[2]] D. Thr. 91.2 sic definit haec coniunctionum genera: 91.2 συναπτικοὶ δέ εἰσιν ὅσοι ὕπαρξιν μὲν οὐ δηλοῦσι, σημαίνουσι δὲ ἀκολουθίαν; 92.2 παρασυναπτικοὶ δέ εἰσιν ὅσοι μεθ' ὑπάρξεως καὶ τάξιν δηλοῦσιν; de accentu εἴ, εἴπερ, εἰδή cf. sch. (Mel./Diom.) D. Thr. 64.4, qui tamen coniunctim εἴπερ et εἰδή tractat; de accentu subcontinuativarum coniunctionum ibid. 64.15; § **144**; de compositione in ἐπεί subcontinuativa: Ap. Dysc. synt. 488.2 καθάπερ ἔχει καὶ ὁ ἐπεί ⟨παρα⟩συναπτικὸς συγκείμενος ἐκ τοῦ εἴ συνδέσμου καὶ τῆς ἐπί προθέσεως, ὥς φησι καὶ Ποσειδώνιος; Choer. Orth. 212.28 ἐπεί: διὰ τῆς ει διφθόγγου. ἀπὸ γὰρ τοῦ εἰ γέγονεν καὶ τῆς ἐπί προθέσεως; Ep. Hom. ε 18, ε 163 (cum testim.), ε 172; de synaloepha in ἥν et compositione in ἐπήν, ἐπεάν subcontinuativis: sch. (Vat./Steph.) D. Thr. 289.10; de πέρ (expletiva): sch. (Mel./Diom.) D. Thr. 67.4 πέρ ὀξύνεται καὶ ἐγκλίνεται **1** εἴ συναπτικὸς] vid. § **144** | ἐπεί] de ἐπεί coniunctione vid. etiam supra § **172** et locos ibi laudatos **3–4** καὶ[4]…ὀξύνεται] de μήν (expletiva) et de coniunctione quae cum ea composita est ἀλλαμήν, vid. sch. (Mel./Diom.) D. Thr. 66.5 Ἀλλαμήν· ὁ προκείμενος *ἀλλά* προσέλαβε τὸν *μήν* τὸν παραπληρωματικόν, ὃν μετ' ὀλίγον (scil. loco supra laudato) σὺν Θεῷ εἰσόμεθα· καὶ ἔστι σύνθετος, ὀξύνεται δὲ καὶ ψιλοῦται; ibid. 67.5 μήν ὀξύνεται; **7** κέ] de κέ enclitica: Hrd. ap. Ζ 260a[1] {πρῶτον ἔπειτα} ΔΕ ΚΑΥΤΟΣ: τοῦτο διχῶς ἀναγινώσκεται· ὅσοι γὰρ ἡγοῦνται τὸν κέ ἐγκλιτικόν, ῥωννύουσι τοῦ δέ τὴν ὀξεῖαν, ὡς καὶ ⟨ὁ⟩ Ἀσκαλωνίτης (p. 48 B.)· οὕτως γὰρ καὶ τὸ ἐν τῇ Ὀδυσσείᾳ (γ 255) ἀναγινώσκει· «ἤτοι μὲν τόδε κ' αὐτὸς ὀΐεαι» et ap. sch. δ 546b ἢ γάρ μιν—ἤ κεν Ὀρέστης] διαζευκτικοί εἰσιν οἱ δύο σύνδεσμοι. διὸ ὁ μὲν πρῶτος βαρεῖαν δέχεται, ὁ δὲ δεύτερος διὰ τὸν «κεν» ἐγκλιτικὸν ὄντα τηρεῖ τὴν ὀξεῖαν

1 Ὁ A: om. rubr. V | εἴ scripsi: ει AV | συνεστηκὼς Dindorf: συνεστηκῶς AV **2** ἐπί A: ἐπεὶ V | εἴ scripsi: εἰ Dindorf: εἶ A: ει V | ὀξύνονται Dindorf: ὀξ^ύ A: ὀξύνεται V **3** ἤν Dindorf: ἦν A: ην V | ἐπήν Lentz 516.14: ἔμπλην AV | ἐπεάν Dindorf: ἐπἔαν AV **4** ἀλλαμήν V: ἀλλάμην A | Ὁ A: om. rubr. V | εἴ δή distinxi: εἰδή coniunctim AV **4–5** ἐπεὶ δή seiunxi: ἐπειδή coniunctim AV **5** εἴ περ separavi: εἴπερ coniunctim AV **6** ἐπεί περ ego: ἐπείπερ coniunctim AV ἐπειδή περ divisi: ἐπειδήπερ coniunctim AV | ἐγκλιτικός A: ἐγκλητικός V **7** ἐν A: ἒν V | εἴ κε distinxi: εἴκε coniunctim AV | αἴ κε distinxi: αἴκε coniunctim AV

205. Πᾶς σύνδεσμος δίφθογγον ἔχων τὴν διὰ τοῦ -ι ὀξύνεται· *τοί, δαί, εἴ.*

206. Ὁ *μῶν* παρ' Ἀθηναίοις διαπορητικὸς ὢν περισπᾶται· ἀπὸ γὰρ τοῦ *μή* καὶ τοῦ *οὖν* σύγκειται, Δωρικώτερον τραπείσης τῆς *ου*
5 διφθόγγου εἰς τὸ ω, τὸν δὲ *οὖν* εἴπομεν περισπᾶσθαι. οὕτως δὲ καὶ ὁ *οὖν* συνταττόμενος τῇ *οὔ* ἀποφάσει ἐν τῷ *ουκουν*, ὅτε μὲν παραπληροῖ, ὀξύνει τὴν *οὔ ἀπόφασιν οὔκουν*, ὡς *εὔνουν*· ὅτε δὲ τὴν ἰδίαν ἔχει δύναμιν, τουτέστι συλλογιστικός ἐστι, φυλάττει τὴν ἰδίαν περισπωμένην· ὡς *χρυσοῦν*, οὕτως καὶ *οὐκοῦν*.

10 **207.** Ὁ *η* ὀξύνεται καὶ περισπᾶται. διαζευκτικὸς μὲν οὖν ὑπάρχων ἢ παραδιαζευκτικὸς ἢ διασαφητικὸς ὀξύνεται πάντως· εἰ δὲ

1–2 Πᾶς…εἴ] Arc. 210.12 Οἱ μονοσύλλαβοι σύνδεσμοι ἔχοντες δίφθογγον τὴν διὰ τοῦ -ι- ὀξύνονται· τοί, καί, εἴ (ὅθεν τὸ ἐπεί) **3** **μῶν**] cf. Hrd. Cath. Pros. ap. Lex. Αἱμ. μ 4 μῶν: ἀπορηματικός ἐστι σύνδεσμος ἀντὶ τοῦ ἆρα. συνετέθη δὲ ἀπὸ τῆς μή ἀπαγορεύσεως καὶ τοῦ οὖν συνδέσμου· καὶ ἐγένετο μὴ οὖν, ἀποβολῇ τοῦ η μοῦν καὶ τροπῇ Δωρικῇ τῆς ου εἰς ω γέγονε μῶν· διὸ καὶ περισπᾶται (vid. et locos a Dyck allatos); Ap. Dysc. coniun. 228.21 et 229.19 ubi Apollonius suam propriam opinionem profert: 228.21 οὐ παρὰ ⟨τὸν οὖν⟩ ἡ σύνθεσις (scil. μῶν coniunctionis), ἀλλὰ παρὰ τὸν ὦν, ὄντα καὶ ⟨Ἰωνικὸν⟩ καὶ Αἰολικὸν καὶ Δωρικόν; 229.19 Συνέστηκεν οὖν ὁ μῶν ἔκ ⟨τε δια⟩πορητικοῦ τοῦ μή καὶ τοῦ ὦν παραπληρωματικοῦ, ⟨καὶ οὕ⟩τως ἐστὶ διαπορητικός, vid. et locos a Schneider ad Ap. Dysc. coniun. 228.11–229.22 (=Gr. Gr. II.I fasc. II p.232) congestos; Lobeck[2] II 103 **5** εἴπομεν] § **202** **6** ουκουν] cf. Hrd. ap. Ep. var. 395.27 οὔκουν ἐστὶν ἐπίρρημα ἀρνήσεως, ἀντὶ τοῦ οὐδαμῶς· τὸ δὲ οὐκοῦν ἐστιν σύνδεσμος συλλογιστικός· οὕτως Ἡρωδιανός; de οὔκουν/οὐκοῦν disserit Ap. Dysc. coniun. 257.18–258.17, unde exscribo haec 257.20 ἔστι γε ἐπ' αὐτοῦ (scil. τοῦ ουκουν) τοῦτο τηρῆσαι, ὡς ὅτε μὲν ἔχει ⟨τὴν οὔ⟩ ἀπόφασιν ἐγκειμένην καὶ κατὰ τὸ δηλούμενον, παραπληρωματικῷ κέχρηται τῷ οὖν· ὅτε δὲ τὸ οὖν ἔχει καὶ ἐν δηλουμένῳ, οὐκέτι τὴν οὔ ἀπόφασιν ἔχει. παρὰ μὲν οὖν τὴν ἐπικράτειαν τοῦ ἐπιρρήματος καὶ ἡ βαρεῖα κατὰ τέλος πίπτει (ἀπειράκις γὰρ τίθεται ἀντὶ τῆς οὔ ἀποφάσεως)· παρὰ δὲ τὴν τοῦ συνδέσμου ἐπὶ τέλους ἴσχει τὸν δέοντα τόνον τοῦ συνδέσμου; ibid. 229.21 **11–170,1** εἰ…ὀξεῖαν] ἠέ coniunctio disiunctiva oxytona est: Hrd. ap. sch. Κ 174 ἢ μάλα λυγρὸς ὄλεθρος⟨—⟩ἠὲ βιῶναι: ἄμφω τοὺς συνδέσμους ἐγκλιτέον· διαζευκτικοὶ γάρ εἰσιν. (de sensu vocis ἐγκλίνω h.l. vid. Schneider Gr. Gr. II.III Index vocabulorum, p. 193 'ἐγκλίνω ἐγκλίνομαι = τὸν τόνον acutum in gravem muto' et LSJ s.v. 6 'pronounce with the grave accent'); Hrd. ap. sch. δ 372a (cf. δ 371–2 νήπιός εἰς, ὦ ξεῖνε, λίην τόσον ἠδὲ χαλίφρων, / ἠὲ

1 Πᾶς A: *ᾶς V, lit. π a rubr. omissa **2** εἴ V: ει A: εἰ Dindorf **4** μή Dindorf: μη AV **5** περισπᾶσθαι A: περισπᾶται V **6** οὔ Dindorf: ου AV | ουκουν scripsi: οὔκουν Dindorf: οὐκ οὖν AV **7** οὔ Dindorf: ου AV **10** Ὁ A: om. rubr. V

καὶ πλεονάζει τῷ -ε, ἐπὶ τέλους ἔχει τὴν ὀξεῖαν. (1) διαζευκτικὸς μέν·

ἑκὼν μεθιεῖς καὶ τέρπεαι ἄλγεα πάσχων. – sine signo interrogandi) ἠὲ ἑκὼν μεθίεις: ἄμεινον κοιμίζειν τοῦ «ἠέ» τὴν ἐπὶ τέλους ὀξεῖαν, ἵνα γένηται διαζευκτικός. ὅτε γάρ ἐστι διαπορητικὸς ὁ η, περισπᾶται, ὡς τὸ «ἦε χόλον παύσειεν ἐρητύσειέ τε θυμόν» (Α 192); cf. Ap. Dysc. coniun. 227.9 ...καὶ ἐκ τοῦ πλεονάσαντος ε συμφανές ἐστιν. ὡς γὰρ ⟨ἐν τῷ δια⟩ζευκτικῷ ἐστὶν ὁ ἠέ, οὕτως καὶ ἐν τῷ διαπορητικῷ, «ἦε χόλον παύσειεν ἐρητύσειέ τε θυμόν» (Α 192); Ap. Soph. 82.21 ἠέ. βαρυτονουμένης τῆς προτέρας σύνδεσμος διαζευκτικὸς γίνεται· «ἠὲ διατμῆξαι κοῖλον δόρυ νηλέϊ χαλκῷ, / ἠὲ κατὰ πετράων βαλέειν» (θ 507–8). περισπωμένης δὲ τῆς προτέρας ἀπορηματικὸς σύνδεσμος γίνεται, οἷον «ἦε περὶ πτόλιος μαχεύμενοι...;» (ω 113); de ἦε coniunctione dubitativa vid. etiam ad § **208**

1–171,3 διαζευκτικὸς…νηῶν] cf. Mich. Sync. 1595 partim e Hrd. Cath. Pros. pendentem Διὰ δὲ τῶν διαζευκτικῶν τὰς διεζευγμένας συντάξεις συντίθεμεν διαζευγνύντες μὲν ἢ πρᾶγμα ἀπὸ πράγματος ἢ πρόσωπον ἀπὸ προσώπου, τὴν δὲ φράσιν ἐπισυνδέοντες. Προσώπων μὲν οὖν διαζευγνυμένων τὸ ἓν παραλαμβάνεται, τὸ δὲ ἕτερον καταλιμπάνεται, οἷον· «εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω / ἢ Αἴας ἢ Ἰδομενεὺς ἢ δῖος Ὀδυσσεύς / ἠὲ σύ, Πηλεΐδη, πάντων ἐκπαγλότατ᾽ ἀνδρῶν» (Α 144–6). Πραγμάτων δὲ θάτερον μένει, τὸ δὲ ἕτερον ἀναιρεῖται· θέλουσι γὰρ ἐναντία εἶναι καὶ ἀλλήλοις μὴ συνυφιστάμενα, οἷον «Αἰδώς, Ἀργεῖοι· νῦν ἄρκιον ἢ ἀπολέσθαι / ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν» (Ο 502–3). ἢ νὺξ ἢ ἡμέρα· ἢ φῶς ἢ σκότος· ἢ ζωὴ ἢ θάνατος· ἢ χαρὰ ἢ λύπη; Hrd. ap. sch. Ε 812a ἤ νύ σέ που: ὁ ἢ ὀξύνεται· διαζευκτικὸς γάρ... et ap. sch. Ε 885–7a ἤ—ἤ: διαζευκτικοὶ ἀμφότεροι· διὸ ὀξύνονται διὰ τὰ ἐπιφερόμενα ἐγκλιτικά... et ap. sch. Κ 174 ἢ μάλα λυγρὸς ὄλεθρος ⟨—⟩ ἠὲ βιῶναι: ἄμφω τοὺς συνδέσμους ἐγκλιτέον· διαζευκτικοὶ γάρ εἰσι...; vid. et testimonia ad tres praecedentes locos ab Erbse allata; Ap. Soph. 81.31 ψιλούμενον δὲ καὶ βαρυνόμενον (scil. τὸ η) δηλοῖ σύνδεσμον διαζευκτικόν, «ἢ εὖ ἠὲ κακῶς» (Β 253); de ἤ coniunctionis notione disiunctiva Ap. Dysc. coniun. 216.10 (cum testim.); Choer. I 106.13 σύνδεσμον διαζευκτικόν, τὸν τὰ ἐναντία τῇ συντάξει διϊστῶντα, οἷον «ἢ ζῇ ἢ τέθνηκεν», «ἢ νύξ ἐστιν ἢ ἡμέρα»· ταῦτα γὰρ παραλαμβάνεσθαι ὁμοῦ ἀδύνατον ὡς ἕν τι διΐστησιν ὁ ἤ σύνδεσμος (quae verba optime ad Choeroboscianam quadrant doctrinam, quamquam recensionis Marcianae auctor brevitati studens ea respuit); ibid. 106.27 Καὶ ὁ μὲν διαζευκτικὸς ἐν τοῖς μαχομένοις καὶ μὴ δυναμένοις εἶναι ὁμοῦ θέλει καταγίνεσθαι, οἷον «ἢ ζῇ ἢ τέθνηκεν», «ἢ νύξ ἐστιν ἢ ἡμέρα», «ἢ κάθημαι ἢ ἵσταμαι»· ἰδοὺ ἐνταῦθα διαζευκτικός ἐστιν, ταῦτα γὰρ ὁμοῦ παραλαμβάνεσθαι ἀδύνατον; id. II 276.20 διαζευκτικοὶ δὲ ἀπὸ τοῦ διαζευγνύειν καὶ διαχωρίζειν ἀλλήλων τὰ πράγματα, οἷον «ἢ νύξ ἐστιν ἢ ἡμέρα»; id. sch. Heph. 197.22 ὅτε ὁ ἤ διαζευκτικὸς † ἐπιφέρεται «ἢ Αἴας ἢ Ἰδομενεὺς ἢ δῖος Ὀδυσσεύς» (Α 145); Ep. Hom. η 20, ll. 2–6 (cum testim.)

1 πλεονάζει A$^{i.l.}$: πλεονάσει VA$^{s.l.}$ | τῷ scripsi: τὸ AV

«ἢ νύξ ἐστιν ἢ ἡμέρα»· τὸ γὰρ ἕτερον ἀληθές, τὸ δὲ ἕτερον ψευδές. καὶ τὸ «αἰδώς, Ἀργεῖοι· νῦν ἄρκιον ἢ ἀπολέσθαι / ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν» (Ο 502–3). (2) παραδιαζευκτικὸς δέ· «Φαίδων ἢ περὶ ψυχῆς», «ἤ νέος ἠὲ παλαιός» (Ξ 108). ἢ γὰρ τὸ ἓν ἢ
5 τὸ ἕτερον ἢ καὶ ἀμφότερα· ἡ γὰρ τῶν ⟨παρα⟩διαζευκτικῶν δύναμις τοιαύτη ἐστί. (3) διασαφητικὸς δέ· «πλουτεῖν ⟨ἐθέλω⟩ ἢ πένεσθαι» –

3–6 παραδιαζευκτικὸς…ἐστί] locus Homericus integer: Ξ 107–8 νῦν δ' εἴη ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι / ἢ νέος ἠὲ παλαιός; cf. Mich. Sync. partim e Cath. Pros. pendentem 1616 Παραδιαζευκτικὸς μὲν γινόμενος πράγματα διαζευγνύει ἀλλήλοις συνυφιστάμενα ὧν τὸ ἓν αἱρούμεθα ἢ τὸ ἕτερον ἢ καὶ ἀμφότερα, οἷον «δός μοι χρυσὸν ἢ ἄργυρον»· τοιαύτη δέ ἐστι καὶ ἡ παρ' Ὁμήρῳ σύνταξις, ἔνθα λέγει· «ἤ νέος ἠὲ παλαιός» (Ξ 108); Hrd. ap. sch. Z 438–9a[1] ἤ πού / ἤ νυ: διὰ τὸ ποῦ (438) καὶ νύ (439) τὸν ἤ ὀξυτονητέον, ὃς δύναται εἶναι διαζευκτικὸς ἢ καὶ παραδιαζευκτικός et ap. sch. O 105–6a[1]; de coniunctionis ἤ notione subdisiunctiva Ap. Dysc. coniun. 219.12 ubi idem locus Homeri affertur; Choer. I 106.30 ὁ δὲ παραδιαζευκτικὸς ἐν τοῖς δυναμένοις ὁμοῦ εἶναι καταγίνεται, ὡς παρὰ τῷ ποιητῇ «ἤ νέος ἠὲ παλαιός» (Ξ 108), τουτέστι συμβουλευσάτω ἢ νέος καὶ μὴ παλαιός, ἢ παλαιὸς καὶ μὴ νέος, ἢ καὶ νέος καὶ παλαιός; Ep. Hom. η 20, l. 89, l. 6 (cum testim.) **6–172,3** διασαφητικὸς…αἱρεῖται] cf. Hrd. Cath. Pros. ap. Mich. Sync. 1621 Διασαφητικὸς δὲ οἷον «πλουτεῖν ἐθέλω ἢ πένεσθαι» ὃς καὶ τὸν περ προσλαμβάνει, οἷον «ἤπερ πένεσθαι»· διασαφεῖ γὰρ τὸ ἕτερον ὅπερ αἱρεῖται, ὡς καὶ ἐν τῷ ποιητῇ· «βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι» (A 117); Choer. I 106.20 καὶ διασαφητικόν, τὸν αἱρούμενον ἓν δύο προτεθέντων, οἷον «θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον» (Diog. Sinop. TrGF 1, 88 fr. 2.1; vid. Gr.Gr. IV.ii, Corr. p. 525), ὃς καὶ τὸν περ προσλαμβάνει, οἷον «πλουτεῖν ἐθέλω ἤπερ πένεσθαι»· διασαφεῖ γὰρ τὸ ἕτερον ὅπερ αἱρεῖται, ὡς ἐν τῷ ποιητῇ «βούλομ' ἐγὼ λαὸν σῶν ἔμμεναι ἢ ἀπολέσθαι» (A 117); id. Ep. Ps. 30.28 διασαφητικὸς δέ ἐστιν, ὅταν δύο προτίθηται, τὸ ἓν αἱρεῖται, οἷον «θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον», «ῥανὶς φρενῶν μοι μᾶλλον ἢ βυθὸς τύχης» (Greg. Naz. Migne PG 37, III p. 968, 1); Hrd. ap. sch. α 165a ἢ ἀφνειότεροι: κοιμιστέον τὸν ἤ· διασαφητικὸς γάρ ἐστιν, ἀντὶ τοῦ ἤπερ, οὐ διαζευκτικός· εὔξονται μᾶλλον ταχεῖς εἶναι ἤπερ πλούσιοι, vid. et locos a Pontani allatos; sch. A 117c ⟨ἢ ἀπολέσθαι:⟩ διασαφητικῶς ἀντὶ τοῦ ἤπερ, ὡς τὸ «ἢ ἀφνειότεροι» (α 165)… vid. et testim. ab Erbse congesta; de ἤ coniunctionis notione disertiva agit Ap. Dysc. coniun. 221.16 sqq. ubi eadem exempla affert Ἔστι καὶ ⟨τετάρ⟩τη (hoc supplementum pro τρίτη quod est in editione sua proposuit Schneider ad 221.16 = Gr.Gr. II.I.2 p. 226, idque recepit Dalimier), διαφορὰ τοῦ ἤ συνδέσμου, ἥτις καλεῖται διασαφητική. τοῦ μὲν γὰρ προτέρου ὕπαρξιν διασ⟨αφεῖ⟩, τοῦ δὲ

1 ἐστιν V: ἐστι A **2** αἰδώς A: αἰδῶς V **4** ἢ[1] add. Dindorf praef. xviii | νέος V: νεός A **5** παραδιαζευκτικῶν scripsi: διαζευκτικῶν AV **6** ἐθέλω Mich. Sync. 1621: om. AV

ὃς καὶ τὸν *πέρ* λαμβάνει· «ἤπερ πένεσθαι» – «βούλομ' ἐγὼ λαὸν σῶον ἔμμεναι ἢ ἀπολέσθαι» (Α 117)· διασαφεῖ γὰρ τὸ ἕτερον ὅπερ αἱρεῖται.

208. Οὗτος ὁ διαζευκτικὸς μετὰ διαπορήσεως προφερόμενος τὸν δεύτερον ἐρωτηματικὸν ὄντα πάντως περισπᾷ, οἷον «ἢ δολιχὴ νοῦσος, ἦ Ἄρτεμις ἰοχέαιρα;» (λ 172)· ἐναντία γὰρ ταῦτα μαχόμενα καὶ ἅμα εἶναι οὐ δυνάμενα, καὶ διὰ τοῦτο διάζευξις μετ' ἐρωτήσεως 5

ἐπιφερομένου ἀναίρεσιν, «βούλομαι πλουτεῖν ἢ πένεσθαι», «βούλομαι φιλολογεῖν ἢ σχολάζειν». ποιεῖται καὶ μετὰ τοῦ πέρ τὴν σύνταξιν, «ἡμέρα ἐστὶν ἤπερ νύξ» sqq.

5–6 ἢ…ἰοχέαιρα] locus Homeri integer: λ 170–3 ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον· / τίς νύ σε κὴρ ἐδάμασσε τανηλεγέος θανάτοιο; / ἢ δολιχὴ νοῦσος, ἦ Ἄρτεμις ἰοχέαιρα / … κατέπεφνεν, h.e. rogatio bifida in oratione recta, cf. Arc. 210.15 Ὁ η σύνδεσμος καὶ ὀξύνεται καὶ περισπᾶται. καὶ ἡνίκα μὲν εὑρεθῇ διαπόρησις μετὰ διαζεύξεως, τότε ὁ η ἐν τῇ ἀρχῇ ὢν ὀξύνεται, ἐν δὲ τῷ μέσῳ περισπᾶται· «ἢ δολιχὴ νοῦσος, ἦ Ἄρτεμις ἰοχέαιρα…;»; Hrd. ap. sch. Γ 239–40 ἢ οὐχ ἑσπέσθην⟨—⟩ / ἢ δεῦρο μὲν ἕποντο: ὁ Νικάνωρ (p. 170 Friedl.) ἄμφω ὀξύνει ὡς διαζευκτικούς, ὁ δὲ Ἡρωδιανὸς τὸν δεύτερον περισπᾷ, ὡς διαπορητικοὺς ἄμφω δεχόμενος [Hrd. versus Γ 239–40 sic interpretatus est: ἢ οὐχ ἑσπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς, / ἦ δεύρω μὲν ἕποντο … ; (h.e., cum signo interrogandi), vid. West ad Γ 240 'ἢ Nic (ut sit "aut…aut…": ἦ Hrd. (ut sit "utrum…an…?")']; Hrd. ap. sch. Γ 239–41 ⟨ἢ οὐχ ἑσπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς / ἦ δεύρω—ἀνδρῶν;:⟩ ὁ μὲν πρῶτος ἢ σύνδεσμος βαρύνεται, ὁ δὲ δεύτερος περισπᾶται, ἵνα τοιαύτη ἡ φράσις γένηται· ἢ οὐκ ἠκολούθησαν, ⟨ἦ ἠκολούθησαν⟩ μέν, οὐκ ἐθέλουσι δὲ μάχην καταδύμεναι ἀνδρῶν; (post ἀνδρῶν signum interrogandi); Hrd. ap. sch. Υ 17 …τοῦτο δέ φημι πρὸς τὰ τοιαῦτα «ἢ δολιχὴ νοῦσος ἦ Ἄρτεμις ἰοχέαιρα» (λ 172), «ἠὲ νέον μεθέπεις ἦ καὶ πατρώϊός ἐσσι» (α 175)· ἐν γὰρ ταῖς τοιαύταις συντάξεσιν ὁ μὲν πρότερος ἢ ἐγκλίνεται, ὁ δὲ δεύτερος περισπᾶται; sch. γ 72; Scholia quae ad eos versus Homeri spectant ubi in membro priore rogationis bifidae (in oratione recta) coniuctione ἤ non usus est poeta: Hrd. ap. sch. Κ 425a et sch. δ 643; sch. ζ 149 (cf. ζ 149 γουνοῦμαί σε, ἄνασσα· θεός νύ τις ἦ βροτός ἐσσι;) τὸν η ὁ Ἀσκαλωνίτης περισπᾷ ἐρωτηματικὸν νομίζων· ὃ καὶ χαριέστερον. οἱ δὲ ἐνέκλιναν (scil. ἐβάρυναν, vid. superius) ὡς εἰ ἔλεγεν, εἴτε θεὸς εἴτε ἄνθρωπος); vid. etiam sch. ad Ν 307–9a[1] ubi coniunctio ἤ/ἦ ter posita est (ἢ … ἦ … ἦ …;); Lehrs 52–8

1 τὸν V: τὸ A | πέρ scripsi: περ AV **2** σῶον] sic pro σόον in AV et in Mich. Sync. 1624 (codd. plerique) | ἕτερον AV, etiam Mich. Sync. 1622; tolerandum videtur pro πρότερον **3** αἱρεῖται Dindorf: αἰρεῖται AV **5** περισπᾷ Lehrs 52: περισπᾶται AV | δολιχὴ V: δολικὴ A **6** ἦ $A^{p.c.}$: ἢ $A^{a.c.}V$ **7** διάζευξις scripsi: διάζευξιν AV, post quod add. εἴληφε vel ἔχει Bloch praef. xviii

καὶ ἀπορίας. τοιοῦτό ἐστι καὶ τὸ «ἠὲ νέον μεθέπεις, ⟨ἦ⟩ καὶ πατρῷος ἐσσί» (α 175). διαζευκτικῆς οὖν οὔσης τῆς ⟨συν⟩τάξεως τῶν διαπορητικῶν, ὁ μὲν πρότερος ὀξύνεται, ὁ δὲ δεύτερος περισπᾶται. οὗτος δέ, ὁ περισπώμενος, ἐὰν προσλάβῃ τὸ -ε, φυλάττει τὴν περισπωμένην, 5 οἷόν ἐστιν· «ἢ ὅ γε φάσγανον ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ / τοὺς μὲν

1–2 ἠὲ…ἐσσί] locus Homericus integer: α 174–6 καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ, / ἠὲ νέον μεθέπεις, ἦ καὶ πατρώιός ἐσσι / ξεῖνος...h.e. rogatio bifida subiuncta; cf. Hrd. ap. sch. α 175a ἠὲ νέον μεθέπεις ἦ: ὁ δεύτερος η περισπᾶται· ἐρωτηματικὸς γάρ ἐστι; huiusmodi rogatio exstat item ap. Herodiani sch. E 672–3 (cf. v. 671 μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν,) ἢ προτέρω Διὸς υἱόν / ἦ ὅ γε τῶν πλεόνων: ὁ μὲν πρότερος κεῖται ἀντὶ τοῦ πότερον· διὸ ἐγκλιτέον (de sensu vocis ἐγκλιτέον vid. superius). τὸν δὲ δεύτερον περισπαστέον; Hrd. ap. sch. Υ 17 ...τοῦτο δέ φημι πρὸς τὰ τοιαῦτα «ἢ δολιχὴ νοῦσος ἦ Ἄρτεμις ἰοχέαιρα» (λ 172), «ἠὲ νέον μεθέπεις ἦ καὶ πατρώϊός ἐσσι» (α 175)· ἐν γὰρ ταῖς τοιαύταις συντάξεσιν ὁ μὲν πρότερος ἤ ἐγκλίνεται, ὁ δὲ δεύτερος περισπᾶται; etiam Hrd. ap. sch. K 504–6a[1] (ad K 503–6 Αὐτὰρ ὃ μερμήριζε μένων ὅ τι κύντατον ἔρδοι, / ἢ ὅ γε δίφρον ἑλών, ὅθι ποικίλα τεύχε' ἔκειτο, / ῥυμοῦ ἐξερύοι ἢ ἐκφέροι ὑψόσ' ἀείρας, / ἦ ἔτι τῶν πλεόνων Θρηκῶν ἀπὸ θυμὸν ἕλοιτο.) ἢ ὅ γε δίφρον ἑλὼν ⟨...⟩ ἢ ἐκφέροι ὑψόσ' ⟨...⟩ ἦ ἔτι τῶν πλεόνων: διαπορητικὸς ὁ ὕστερος· διὸ περισπαστέος. τὸν δὲ πρῶτον καὶ δεύτερον ἐγκλιτέον (cf. Lehrs 55: 'Nam sensus loci hic est: dubitabat utrum currum aut temone protraheret aut tollens efferret - an plures interimeret. Est igitur secundum ἤ διαζευκτικόν. Quod fugere non poterat Herodianum'); etiam Hrd. ap. sch. ι 280 (cf. ι 279–80) ἀλλά μοι εἴφ', ὅπῃ ἔσχες ἰὼν εὐεργέα νῆα, / ἤ που ἐπ' ἐσχατιῆς ἦ καὶ σχεδόν, ὄφρα δαείω) περισπαστέον τὸν δεύτερον η ... ; similiter sch. κ 52, sch. π 95; sch. ρ 237, sch. Π 244, sch. γ 214, sch. Π 436–8; sch. δ 29a alibi; Lehrs 52–8 **3–174,3** οὗτος…προπερισπᾶται] ἦε coniunctio interrogativa in proxime ultima circumflexum habet: Hrd. ap. sch. δ 372a (cf. δ 371–2 νήπιός εἰς, ὦ ξεῖνε, λίην τόσον ἠδὲ χαλίφρων, / ἠὲ ἑκὼν μεθιεῖς καὶ τέρπεαι ἄλγεα πάσχων. - sine signo interrogandi) ἠὲ ἑκὼν μεθίεις: ἄμεινον κοιμίζειν τοῦ «ἠέ» τὴν ἐπὶ τέλους ὀξεῖαν, ἵνα γένηται διαζευκτικός. ὅτε γάρ ἐστι διαπορητικὸς ὁ η, περισπᾶται, ὡς τὸ «ἦε χόλον παύσειεν ἐρητύσειέ τε θυμόν» (A 192) et ap. sch. A 190–2 (cf. A 188–9 ἐν δέ οἱ ἦτορ / στήθεσσιν λασίοισι διάνδιχα μερμήριξεν,) ἤ ... ἦε: τὸν μὲν πρότερον σύνδεσμον βαρυτονητέον, τὸν δὲ δεύτερον ⟨προ⟩περισπαστέον (προ– addidi)· διαπορητικὴ γάρ ἐστιν ἡ σύνταξις. καὶ οὕτως ἐν τῇ Καθόλου; Ap. Dysc. coniun. 227.9 ...καὶ ἐκ τοῦ πλεονάσαντος ε συμφανές ἐστιν. ὡς γὰρ ⟨ἐν τῷ δια⟩ζευκτικῷ ἐστὶν ὁ ἠέ, οὕτως καὶ ἐν τῷ διαπορητικῷ, «ἦε χόλον παύσειεν ἐρητύσειέ τε θυμόν» (A 192)

1 μεθέπεις…καὶ[3] Dindorf: μεθεπείσης καὶ AV | ἦ add. Lentz 518.1 | πατρῷος V: πατρῶος A **2** διαζευκτικῆς V (coni. iam Lehrs 52): διαζευκτικ (sic, sine terminatione) A | συντάξεως Mich. Sync. 1626: τάξεως AV

ἀναστήσειε, τὸν δ' Ἀτρείδην ἐναρίζοι, / ἦε χόλον παύσειεν ἐρητύσειέ τε θυμόν» (A 190–2)· διαζευκτικὴ γὰρ ἡ φράσις μετὰ διαπορήσεως, ἀλλ' ὁ δεύτερος προπερισπᾶται.

209. Ὅτε δὲ μόνως ἐρωτηματικός ἐστιν ὁ ἦ χωρὶς διαζεύξεως, κἂν ἅπαξ ⟨κἂν⟩ πολλάκις παραληφθῇ, περισπᾶται μὴ οὔσης τῆς ἐρωτήσεως ἐν διαζεύξει. ἐν μὲν γὰρ τῷ «ἢ δολιχὴ νοῦσος, ἦ Ἄρτεμις ἰοχέαιρα;» (λ 172) διαζευκτικὸν τὸ αἰφνιδίως τελευτῆσαι τοῦ μακρο- 5

4–175,5 Ὅτε ... ὀλέκονται] cf. Hrd. Cath. Pros. ap. Mich. Sync. 1625 Διαπορητικὸς δὲ καθίσταται ἡνίκα μεθ' ὑπερωτήσεως καὶ ἀπορίας λέγοιτο, μὴ οὔσης τῆς συντάξεως διαζευκτικῆς, οἷον· «ἦέ τι Μυρμιδόνεσσι πιφαύσκεαι; ἦ (signum interrogandi posui et ἦ scripsi: sine signo interr. et cum ἢ edidit Donnet, iniuria) ἐμοὶ αὐτῷ; / ἦέ τιν' ἀγγελίην Φθίης ἒξ ἔκλυες οἶος;» (Π 12–3), «ἦε σύ γ' Ἀργείων ὀλοφύρεαι ὡς ὀλέκονται;» (Π 17). ὃς μονοσύλλαβος μὲν ὢν περισπᾶται, δισύλλαβος δὲ προπερισπᾶται; Arc. 210.18 ἡνίκα δὲ εὑρεθῇ διαπόρησις ἄνευ διαζεύξεως, τότε ὁ Η, εἴτε ἐν ἀρχῇ εἴτε ἐν μέσῳ εὑρεθῇ, περισπᾶται· ⟨addendus v. Π 12⟩ (coniecit Lehrs 58): ἦ τῷ Ἀχιλλεῖ ἦ τοῖς Μυρμιδόσιν, ἀντὶ τούτῳ κἀκείνοις; plura exempla infra offendes **5** κἂν ἅπαξ] Hrd. ap. sch. Υ 17 (cf. Υ 16–7 τίπτ' αὖτ', Ἀργικέραυνε, θεοὺς ἀγορήνδε κάλεσσας; / ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;) ἦ {τι περι τρώων}: ἐρωτηματικὸς ὁ σύνδεσμος καὶ ἅπαξ εἰλημμένος κατὰ μίαν διάνοιαν· διὸ περισπαστέος...; Hrd. ap. sch. Ζ 56 (cf. Ζ 56–7 ... ἦ σοὶ ἄριστα πεποίηται κατὰ οἶκον / πρὸς Τρώων;) ⟨ἦ:⟩ ὁ ἦ περισπᾶται· διαπορητικὸς γάρ; sch. Θ 379a; sch. Ξ 265a; sch. Ο 105–6a[1] (Hrd.); sch. ζ 200; sch. κ 380, alibi | κἂν πολλάκις] cf. Hrd. ap. sch. Π 12–3b ⟨ἦέ τι ... ἦ ... / ἦέ τινα:⟩ πάντες περιεσπάσθησαν οἱ σύνδεσμοι κατὰ λόγον τῶν ἐρωτηματικῶν; cf. Lehrs 58 'Si scribitur ἠέ τι Μυρμιδόνεσσι πιφαύσκεαι ἦ ἐμοὶ αὐτῷ; id significaret: utrum Myrmidonibus aliquid affers an mihi ipsi? h.e. utri nostrum? Hanc autem clarum est loquentis sententiam non esse, sed: an Myrmidonibus aliquid affers? an mihi ipsi? Neutrum excludit'; Hrd. ap. sch. β 29 ... οἱ δὲ ἑξῆς (scil. σύνδεσμοι, h.e., ἦε in vv. β 30, 32) περισπῶνται· ἐρωτηματικοὶ γάρ. (versus β 30–2 sic profert Herodianus: ἦέ τιν'.. ./ ... πύθοιτο; / ἦέ τι...ἀγορεύει;); Hrd. ap. sch. ζ 120 ἦ ῥ' οἵγ'] ὡς διαπορητικὸν περισπᾶται (Herodianus vv. ζ 120–1 sic legit: ἦ ῥ' οἵ γ' ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι; / ἦε φιλόξεινοι καί σφιν νόος ἐστὶ θεουδής; sed probabilius arbitror sch. ζ 120 aut non Herodiani aut corruptum esse. nam versus ζ 120–1 σύνταξιν διαπορητικὴν μετὰ διαζεύξεως, ut ita cum veteribus loquar, habere clarum est; quod Herodianum fugere non poterat), alibi

1 Ἀτρείδην A: Ἀτρείδη V | ἐναρίζοι A: ἐναρίξοι V | ἦε A: ἠὲ V | ἐρητύσειέ A: ἐρυτήσειέ V **3** ἀλλ'] malim ὅθεν vel simile quid **4** μόνως Lentz 518.10: μόνος AV | ἦ Dindorf: ἡ A: η V **5** κἂν[2] add. Lerhs 52 **6** ἢ add. Dindorf | ἦ Dindorf: ἢ AV **7** τὸ αἰφνιδίως A: τοῦ αἰφνηδίως V

χρονεῖν· ὅθεν ὁ πρῶτος ἐγκλίνεται, ὁ δὲ δεύτερος περισπᾶται. ἐν μέντοι τοῖς ὑποκειμένοις ἔπεσι πάντες περισπῶνται ἐρωτηματικοὶ ὄντες οὐκ ἐν διαζεύξει· «ἦέ τι Μυρμιδόνεσσι πιφαύσκεαι; ἦ ἐμοὶ αὐτῷ; / ἦέ τιν' ἀγγελίην Φθίης ἐξέκλυες οἶος;» (Π 12–3), «ἦε σύ γ' 5 Ἀργείων ὀλοφύρεαι, ὡς ὀλέκονται;» (Π 17).

210. Περισπῶσι καὶ τὸν (1) βεβαιωτικόν· «τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας / Ἀτρείδης; ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο;» (Ι 338–9). ἐνταῦθα μὲν βεβαιωτικός ἐστιν ὁ ἦ μεθ' ὑπερωτήσεως, ἔστι δὲ καὶ (2) μόνως διαβεβαιωτικὸς χωρὶς ἐρωτήσεως· «ἦ μάλα δὴ τέθνηκε Μενοι-10 τίου ἄλκιμος υἱός» (Σ 12), «ἦ μάλ' ἐλαφρὸς ἀνήρ, ὃς ῥεῖα κυβιστᾷ», (Π 745), «ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται». (Α 573). (3) ἀλλὰ κἂν

1 ἐγκλίνεται] de sensu verbi vid. ad § **207** **6–8** βεβαιωτικόν…ὑπερωτήσεως] Hrd. Cath. Pros. ap. Mich. Sync. 1631 Διαβεβαιωτικὸς δὲ καὶ μεθ' ὑπερωτήσεως καὶ χωρὶς ὑπερωτήσεως πολλάκις παραλαμβάνεται. Μεθ' ὑπερωτήσεως μὲν οἷον· «τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας / Ἀτρεΐδης; ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο;» (Ι 338–9); Ap. Soph. η coniunctionem quae est in Ι 339 pro interrogativa accepit, non pro adfirmativa cum interrogatione: 81.29–30 …δηλοῖ δὲ καὶ ἀπορηματικὸν σύνδεσμον· «ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο; / ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων / Ἀτρεῖδαι;» (Ι 339—41)… , unde sch. A 219a.51–3; **9–11** μόνως…ἔσσεται] Hrd. Cath. Pros. ap. Mich. Sync. 1631 Διαβεβαιωτικὸς δὲ καὶ μεθ' ὑπερωτήσεως καὶ χωρὶς ὑπερωτήσεως πολλάκις παραλαμβάνεται … χωρὶς δὲ ὑπερωτήσεως· «ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός» (Σ 12), «ἦ μάλ' ἐλαφρὸς ἀνήρ, ὃς ῥεῖα κυβιστᾷ» (Π 745), «ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται» (Α 573). Ἔστι δ' ὅτε καὶ τῷ ἐπεί ὑποτάσσεται, οἷον· «ἐπεὶ ἦ μάλα πολλὰ μεταξύ» (Α 156); Hrd. ap. sch. A 77–8a[1] … τὸ δὲ «ἦ γὰρ ὀΐομαι» (78) περισπωμένῃ τάσει ἀναγνωστέον· διαβεβαιωτικὸς γὰρ ὁ σύνδεσμος et sch. B 798b ⟨ἦ:⟩ τὸν ἦ περισπαστέον· ἔστι γὰρ βεβαιωτικός; vid. et locos ab Erbse ad sch. A 156a[1] allatos; Ap. Soph. η coniunctionem quae est in A 573 non adfirmativis sed expletivis adnumerat: 81.27 η ψιλούμενον καὶ περισπώμενον δηλοῖ σύνδεσμον παραπληρωματικὸν ἴσον τῷ δή, «ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστι» (Α 169) καὶ «ἦ δὴ λοίγια ἔργα» (Α 573); **11–176,1** κἂν…περισπᾶται] cf. Hrd. Cath. Pros. ap. Mich. Sync. 1639 Ἔστι δ' ὅτε καὶ τῷ ἐπεί ὑποτάσσεται, οἷον·

3 ἦέ Dindorf: ἠέ AV | τι A: τε V | Μυρμιδόνεσσι Dindorf: Μυρμυδόνεσσι A: Μυρμηδόνεσσι V | πιφαύσκεαι V: πηφάσκεαι A | ἦ Dindorf: ἢ AV **4** ἦέ Dindorf: ἠέ AV | Φθίης Dindorf: Φθείης AV | οἶος V: οἷος A | ἦε Dindorf: ἠὲ AV **5** ὀλοφύρεαι V: ὁλοφύρεαι A | ὀλέκονται Dindorf: ὠλέκονται AV **7** ἦ Dindorf: ἢ AV | οὐχ A: οὐχ' V | ἕνεκ' A: ἕνεκα V **8** ἐστιν A: om. V | ἦ Dindorf: ἢ A η V **9** ἐρωτήσεως AV: ὑπερωτήσεως Mich. Sync. 1635 | ἦ Dindorf: ἢ AV **10** ἦ Dindorf: ἢ AV | μάλ' V: μάλα A | κυβιστᾷ A: κυβισταὶ A **11** ἦ V: ἢ A

ὑποτάσσηται τῷ *ἐπεί* διαβεβαιωτικὸς ὢν ὁμοίως περισπᾶται· «ἐπεὶ ἦ φάτ' ἀρισφαλέα» (ρ 196), «ἐπεὶ ἦ μάλα πολλὰ μεταξύ, / οὔρεά τε σκιόεντα» (Α 156–7).

211. Ὅτε παραπληροῖ μετὰ τὸ *τί* πυσματικόν, ὀξύνεται· «τί ἥ δὲ σὺ κήδεαι οὕτως / Ἀργείων;» (Ζ 55–6), «ἀλλὰ τί ἤ μοι ταῦτα φίλος διελέξατο θυμός;» (Λ 407) 5

«ἐπειὴ μάλα πολλὰ μεταξύ» (Α 156); Hrd. ap. sch. Α 156a[1] ⟨ἐπεὶ ἦ:⟩ (divisi: ⟨ἐπειῆ:⟩ Erbse) περισπαστέον τὸ⟨ν⟩ η· ἔστι γὰρ βεβαιωτικός; sch. Α 156a[2] (Hrd.); Hrd. ap. sch. Υ 251–5a[1] (cf. vv. 251sqq ἀλλὰ τί ἢ ἔριδας καὶ νείκεα νῶϊν ἀνάγκη / νεικεῖν ἀλλήλοισιν ἐναντίον...;)...περὶ δὲ τοῦ η τοῦ ὑποτασσομένου τῷ τί καὶ τῷ ἐπεί ἐδηλώσαμεν ἐν τοῖς πρὸ τούτων (sc. ad Α 365, sed Herodiani nota excidit) ὡς τῷ τί ὑποτασσόμενος μὲν ἐγκλίνεται (de significatione verbi vid. ad § **207**), τῷ δὲ ἐπεί περισπᾶται; Ap. Soph. η coniunctionem quae est in ἐπεὶ ἦ non adfirmativis sed expletivis adnumerat: 81.27 η ψιλούμενον καὶ περισπώμενον δηλοῖ σύνδεσμον παραπληρωματικὸν ἴσον τῷ δή, «ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστι» (Α 169) καὶ «ἦ δὴ λοίγια ἔργα» (Α 573); Lehrs 62–6
4 παραπληροῖ…ὀξύνεται] cf. Hrd. Cath. Pros. ap. Mich. Sync. 1641 ὅτε δὲ συντεθῇ μετὰ τοῦ τί πύσματος, ἐγκλίνεται· «τίη δὲ σὺ κήδεαι οὕτως;» (Ζ 55), «ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός» (Λ 407); Hrd. ap. sch. Υ 251–5a[1] (cf. vv. 251sqq ἀλλὰ τί ἢ ἔριδας καὶ νείκεα νῶϊν ἀνάγκη / νεικεῖν ἀλλήλοισιν ἐναντίον...;)...περὶ δὲ τοῦ η τοῦ ὑποτασσομένου τῷ τί καὶ τῷ ἐπεί ἐδηλώσαμεν ἐν τοῖς πρὸ τούτων (sc. ad Α 365, sed Herodiani nota excidit) ὡς τῷ τί ὑποτασσόμενος μὲν ἐγκλίνεται (scil. ὀξύνεται, vid. supra), τῷ δὲ ἐπεί περισπᾶται; sch.Υ 251–5a[2] (Hrd.); Ap. Dysc. coniun. 255.5 ... ἐν δὲ ὑποτάξει (scil. τιθέμενος ὁ σύνδεσμος η) ἐγκλίνεται ... «τί ἢ δὲ σὺ νόσφιν ἀπ' ἄλλων» (Ο 244)· ἐν ἴσῳ γάρ ἐστι τῷ τί δή; id. synt. 440.1 ... παραπληρωματικῷ τῷ η περισπωμένῳ μὲν κατ' ἀρχὴν τῶν λόγων, οὐ μὴν κατὰ τὰς ὑποτακτικὰς συντάξεις, ὡς ἐν τῷ «τί ἢ δὲ σὺ νόσφιν ἀπ' ἄλλων» (Ο 244), «ὅτι ἢ κάλλιστον ἢ κατὰ Ξάνθιππον»; Ap. Soph. 82.1 ποτὲ δὲ παρέλκει, «ἀλλὰ τίη με ταῦτα διεξερέεσθαι ἕκαστα;» (Κ 432); Lehrs 62–6; § **202**

1 ἐπεί A: ἐπει V | διαβεβαιωτικὸς Dindorf: διαβεβαιωτικ A (sine terminat.): διαβεβαιωτικὸν V **2** ἦ[1] A: ἢ V | φάτ' Lehrs 62: φᾶτ' AV | ἀρισφαλέα scripsi: ἄρ' ἐσφαλές AV | ἦ[2] A: ἢ V **4** τὸ τί scripsi: τοῦτο AV | τί ἤ Dindorf: τίη AV **5** οὕτως] sic AV **5–6** Ἀργείων…θυμός A: om. V **6** διελέξατο Mich. Sync. 1643 (coni. iam Dindorf): δέξατο A

INDICES

VERBA DE QVIBVS IOHANNES ALEXANDRINVS AGIT

A

ἆ 141 bis
ἀβλής 48
ἀβλῆσι 48
ἀβλῆτι 48
Ἀβυδόθεν 164
Ἀγάμεμνον 59
ἄγαν 180
ἀγαπώντων 198
ἀγαπώντως 198
ἀγεληδά 148
ἀγεληδόν 183
ἄγραδε 160 (137.5), 160 (138.1)
ἄγρει 172
ἄγρειτε 172
ἀγρόθεν 164, 167
ἀγρόθι 167
ἀγρὸν δέ 160
ἄγχι 175
